haec omnia, item addenda et corrigenda, scripta erant, et pleraque iam a. 1881 Lipsiam missa, cum egregius R. A. Lipsii liber quem inscripsit Die apokryphen Apostelgeschichten und Apostellegenden, Braunschweig 1882, in manus meas peruenit. pleraque eorum quae in praefatione disputaui etiam Lipsius protulit. nec tamen delendum quicquam putaui, quoniam acta nostra lecturi iis quae praefati sumus carere uix poterunt; neque addere aut mutare quicquam ausus sum, ne praedando tam opimum agrum, quem pro se quisque incursabit, longius abriperer. quod supra (p. XVIII) ab eo enucleatum iri sperarueram tamquam futtile aut a proposito suo alienum non attigit. ipse si tanti esse uidebitur alio loco ad illam quaestionem reuertar.

ADDENDA ET CORRIGENDA

3, 6 del *ἀργυρίου* cf Lipsius die edessenische Abgarsage p 26. 1 et Nestle in Lipsii annali 1880 p 187. cf 15, 23. 38 ‖ 3, 7 del ὁ et τόν ‖ 4, 2 scr ἔστω (P) nisi ἥτω barbare ab eo quod est εἰμί descendat, nam ἴτω in hac formula non uidetur usitatum fuisse ‖ 7, 11 scr προσσχὼν (προσχὼν quod est in libris meis omnibus Tischendorf consulto retinuisse uidetur cf 28) ‖ 8, 2 del prius τὸ (cf syr) ‖ 8, 5 ὑπ' αὐτὸν Vsener ‖ 8, 8 scr ἧς (PQ)? ‖ 8, 11 leg χῶρον? cf syr et 39, 11. 33. 13. 34 al ‖ 8, 28 del αὐτοῦ (PQ)? ‖ 9, 8 scr τῷ γένει (PQ) cf 7, 8 ‖ 10, 18 scr τὸν et ἡ φωνὴ ἡ (PQ) ‖ 10, 22 scr ὑπέδειξας? cf 69, 16. 37 ‖ 11, 8 scr τέκνα (Q)? cf index ‖ 11, 16 scr δαιμόνων? cf index ‖ 12, 13 scr κτήσομαι (PQ)? αἰτήσομαι syr ut uid ‖ 12, 14 scr σκεπάζομαι? ‖ 12, 15 ἔλυτρον Vsener ‚rica' syr ‖ 13, 7-8 scr τῇ σῇ μεγαλοσύνῃ ‖ 15, 10 scr πρὸς τὸ ἀρκτῷον? cf 9 ‖ 15, 13 del τε? cf 42, 19: nisi hoc loco τὰ ἐπιτήδεια sint res ad aedificandum necessariae (‚aurum' syr) ‖ 16, 5 scr ἐν ᾧ (PQ)? om syr et lat ‖ 16, 18 leg ὑπάγομεν et βλέπομεν? ‖ 16, 21 scr ὑπόδεσμον? cf Thilo ‖ 16, 22 scr ἕως ἂν ἀνακρίνας? ‖ 17, 29 del αὐτῶν (P)? ‖ 19, 6 scr οὐχ (P) ‖ 19, 8 scr τοῖς ἀνθρώποις (P) ‖ 19, 15 scr μήτε θολουμένης cf 30, 3 ‖ 20, 19 οἶκον.] scr κοινωνία? cf 36, 3 ‖ 21, 5 scr εἴτε (PQ) cf 16, 12 ‖ 21, 12 scr ἐντὸς (PQ) cf syr ‖ 21, 13 add καὶ ταύτην τὴν ὑποψίαν ἔχουσα μὴ ἀποδιδοῦσα τὰ ἀλλότρια τοῖς δεσπόταις αἰσχυνθῇ (PQ syr) ‖ 21, 14 add τοῦτο μεριμνῶσα μὴ ἄρα ἐνδεὴς αὐτῶν (?) γένηται καὶ τῶν πόρρωθεν τούτων (?) ὄντων δεηθῇ (?) (PQ syr) ‖ 21, 25 παρ' αὐτῷ (PQ) ‖ 22, 5 scr τοῦ τὸν (PQ) ‖ 22, 23 scr καὶ μὴ εἰς κρίμα (sic Paulus) καὶ ἀμοιβὴν (P) ‖ 23, 2 add τῶν παρεστώτων (P syr) ‖ 23, 9 leg κατειργάσατο? ‖ 26, 13 scr οὐ κατακάλυμμα ‖ 26, 23 scr ἐὰν τούτων ἀπαλλαγῇς ὧν τὴν γνῶσιν ἐδέξω (P syr) ‖ 27, 13 τοῦτο τὸ ὁρώμενον (P)? ‖ 28, 6 scr οὐδὲ? ‖ 28, 7 scr αὐτόν? an σοι (6) deleto scr σὲ αὐτόν? ‖ 28, 16 scr ἑαυτοὺς (P) cf 18 et index s u αὐτός ‖ 28, 20. 21 scr τῆς κτήσεως (P) τῆς ἐκ τῆς γῆς τῆς παλαιουμένης ‖ 28, 23 del ὃ (P) ‖ 29, 1 del ταύτῃ? ‖ 29, 5 scr ἀκοῦον? ‖ 29, 13 scr ἄξομεν? ‖ 29, 25 scr πρόφασις cf 31, 23. 32. 74, 34 ‖ 29, 38 post 22, 9 add 31. 33, 40 ‖ 30, 30 ἐπικαθῆσαι (P) cf 46, 18. 37 et 8, 23 ‖ 31, 23 scr ὧδε (P)? ‖ 32, 1 ἐνεστῶτος ὡς γυνή. καθεζομένης cf 31, 37 et 37, 3 ‖ 33, 36 sic: 15 ἕνεκεν P ‖ 34, 19 leg ἀφορίσας ‖ 34, 23 post ὥσπερ aliquid deesse statuit Vsener: an scr ὡς πένης? cf syr ‖ 34, 23 scr σῴζων ‖ 35, 4 scr πάσης ζωῆς ἀνθρωπίνης (P)? ‖ 35, 9 del σου? ‖ 35, 24 leg παραθεῖναι? ‖ 35, 38 κυφέλιον uoluisse uid P ‖ 36, 12 διεχάραξεν ἐν Vsener: ego malim P sequi ‖ 36, 21 scr προσάγειν? ‖ 37, 2 γὰρ] scr δέ? ‖ 37, 4 scr δ' ἐμὲ ‖ 37, 14 scr ἐκίνησας (P)? ‖ 37, 18 scr ἡ ἀνάπαυσις ἡ ἀπὸ ἀναπαύσεως (del 19 πηγή)? cf 17. 18. 19; nam 18 ante τὰ ὄντα

aliquid intercidit aut ipsa illa uerba corrupta sunt: cf syr || 38, 6 κραβάτῳ et 39, 8 κράβατον (P) Vsener cf Cobet praef N T p LXXXI || 38, 22 εἰς δόξαν τοῦ σοῦ ὀνόματος conieceram: εἰς δόξαν τῆς θεότητός σου syr || 40, 14 lacuna ex P explenda || 40, 21 scr πορείαις cf P || 40, 21 add δὲ (P) || 41, 3 scr μία καὶ ἑκάστη (P)? cf 40, 22 || 41, 9 del γάρ? sed cf 34 || 41, 25 del ἁμαρτήματα (P) || 42, 2 scr προτέραν (sic Paulus)? sed cf 43, 10 || 42, 5 scr παραδώσουσιν? cf index s u δίδωμι et s u coniunct || 42, 6 del κακὸν (P) || 42, 21 del Ἰησοῦς (P) || 43, 6 scr ἐξ ἴσου πᾶσι παρασχόντι? || 43, 21 scr χαρισθείσῃ || 43, 23 εἰς] scr ἐφ' cf 25. 26 || 45, 12 leg αὗται? || 45, 21 ἐκεῖ non delend sed 20 post ἀπιέναι ponend (omissum, in marg cum ἐπὶ τὸ ἀπιέναι appos, falso loco insertum) || 46, 18 cf addenda ad 30, 30 || 48, 3 οὔτε lacunae indicium (Vsener): cf syr || 49, 3 scr παραπομπὸς? (παράπομπος P) || 49, 26 scr διέσωσαν || 51, 37 fort καταμύειν || 51, 35 possis σὺ ἐὰν scribere ut σὺ sit subiectum uerbi πληρώσῃς: an scr σοὶ (repet ut 52, 8)? || 54, 4 cf syr || 54, 34 (9) scr τῇ ὑψώσει σου || 55, 19 μὲν εἶναι] scr μένειν? || 56, 33 scr καταλλαγῶ αὐτῷ ἐν? || 58, 38 (22) cf Cobet N T praef p LXVIII || 59, 4 scr ψυχήν, καὶ || 64, 36. 40 cf 47, 8. 28 || 65, 30 με] scr σε cf 21 et 74, 15 || 68, 25 ἐλευθερία] scr aliq eiusmodi quale est ἐλαιοχριστία? (ἐλαιοθεσία?) || 69, 10 καθ' ἑαυτῶν cf 59, 16? || 69, 34 μόνον] scr μὴ παράμονον? cf 44, 5 || 70, 11 ἀνέχου conieceram, sed ἀντέχου pro ἄντεχε (resiste, cohibe iracundiam) pos uid || 70, 34 δυνατὸν cf 67, 21 || 71, 29 scr εἴσειμι (εἶσ εἰμὶ P) || 72, 37 διψαλέῳ cf 29, 2 || 76, 12 αὐτὸς] scr αὐτὸν? || 76, 36 post 79, 26 add 86, 14 || 78, 26 scr ῥημάτων, καὶ || 78, 38 post 18, 39 add 28, 36 || 79, 35 καθιοῦσι a καθίημι declinatum ferri potest: sed cf thren 3, 6 || 80, 20 scr μου cf 42, 38. 54, 16. 87, 9 || 91, 16 scr τὸν ὑστερούμενον? || 91, 27 τῶν καμάτων est falso repetitum illud τὸν κάματον || 91, 30 scr κάθυδρον? || 98, 4 ‚nauem‘ scribere debebam (WQR): de Greg T cf index || 101, 1 cf Fabric cod ap N T II 469 (mir Andr 11) ‚iam thalamum praeparatum erat‘ W Iª m et Paris 18104 || 101, 13 dei, ita || 102, 29 cf ‚habeo‘ in indice || 103, 5 scr ‚nescio quam‘ separatim? cf Greg T uit patr 8 p 1183 ‚nescio a quo‘ || 113, 8 ‚aera‘ uel ‚auras‘ (an ‚auram‘?) Riese: ‚auras‘ praefero cf tamen Aug de ciu dei 7, 28 p 311, 13 Domb || 113, 9 confusionem illam Berecyntiae cum Cynthia scriptori tribui posse adnotaram (Berecyntiam Gregorius nouerat cf gl conf 77 p 958) Riesi autem mei qui in corrigendo me adiuuabat egregiae coniecturae laetus locum dedi || index locor: 79, 35 Thren 3, 6 praetera ex libro qui inscriptus est Ante-Nicene christian Library, vol XVI, Apocriphal Gospels, Acts and Revelations, translated by Alexander Walker, Edinburgh 1873, add: 5, 6 cf Mt 22, 3-14. 8, 16 cf Exod 30, 23 Cant 4, 14. 27, 19 Lc 21, 34 cf Rom 13, 13. 29, 16 cf Act 17, 30. 33, 11 cf Mt 8, 29. 35, 17 cf Rom 16, 20. 37, 6 cf 1 Cor 6, 9. 38, 10 cf Mt 7, 7. 38, 11 cf Mt 6, 9. 43, 3 cf Act 5, 15 || index gr s u καθέζομαι conferri uolui addenda ad 30, 30 et 79, 35 || 4, 9. 9, 1. 13, 16. 32, 13. 40, 1. 10. 48, 27. 84, 1 accentus non mea culpa interciderunt, alia 34, 17. 35, 27 operae peccarunt

ΠΡΑΞΕΙΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΘΩΜΑ

p. 3 Thilo
p. 190 Tischendorf
p. 146 Wright

Κατ' ἐκεῖνον τὸν καιρὸν ἦμεθα πάντες οἱ ἀπόστολοι ἐν Ἱεροσο-
λύμοις, Σίμων ὁ λεγόμενος Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ,
Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, Φίλιππος
καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης, Ἰάκωβος
Ἀλφαίου καὶ Σίμων ὁ Κανανaῖος, καὶ Ἰούδας Ἰακώβου, καὶ διείλα- 4 Th.
μεν τὰ κλίματα τῆς οἰκουμένης, ὅπως εἷς ἕκαστος ἡμῶν ἐν τῷ 5 Th.

A cod Paris gr 881 saec XI
B Paris gr 1468 saec XI
C Paris gr 1454 saec X
D Paris gr 1176 saec XIII
E Paris gr 1556 saec XV
De ABCDE haec refert Tischendorf:

1 Πράξεις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ: ita inscriptio legitur in BE. CD Περίοδοι τοῦ ἁγίου ἀποστ. Θωμᾶ (C add ἐν Ἰνδίᾳ). A Περίοδος καὶ μαρτύριον τοῦ ἁγίου Θωμᾶ τοῦ ἀποστόλου.

2 ἤμεθα cum A. BD ἦμεν. CE ἦσαν | πάντες: D om 4 Ἰάκωβος ὁ τ. Ζεβ. καὶ Ἰω. ὁ ἀδ. αὐτοῦ: E transpon post Βαρθολομαῖος. B nil nisi Ἰωάννης καὶ Ἰάκωβος habet, eaque post Ἰούδας Ἰακώβου ponit 6 A ὁ Κανανέος | Ἀλφαίου cum AB. CDE ὁ τοῦ Ἀλφ. | διείλαμεν: D διειλάμεθα. C διείλαντο, E διεῖλον 7 κλίματα: codd ut uidetur omnes (uidi in AE) κλήματα, itemque paullo

P Paris gr 1510 saec XI
Q Paris gr 1485 saec XI
R Paris gr 1551 saec XIIII
S Paris gr 1613 saec XV
p q r s correctores

1 πράξεις -- θωμᾶ] (η') πράξισ (sic etiam infra ubi sing num est uelut πράξισ ζ') τοῦ ἁγίου και ἐνδόξου ἀποστόλου θωμά P (ιζ' Q) μηνὶ ὀκτωβρίω ς' (εἰσ τὰσ ς' R) περίοδοι τοῦ ἁγίου ἀποστόλου θωμᾶ· κύριε (δέσποτα R) εὐλόγησον QR πραξισ (sine acc) και μαρτύριον τοῦ ἁγίου ἀποστόλου θωμᾶ· εὐλόγησον δέσποτα. S ‖ 2 ἦμεν (ν in ras et in mg μεν compend P) PQS ὑπήρχομεν R ‖ 4 Ἰάκ. — αὐτοῦ om RS | ζεβεδέου P | Φ.] καὶ φ. Q ‖ 5-6 ἰάκ. ὁ τοῦ ἀλφ. PQRS | χανανίτησ PS ‖ 6-7 διήλαμεν (εἵλαμεν S) τὰ κλήματα PQS sed talia non adnotabo

κλίματι τῷ λαχόντι αὐτῷ καὶ εἰς τὸ ἔθνος ἐν ᾧ ὁ κύριος αὐτὸν ἀπέστειλε πορευθῇ. κατὰ κλῆρον οὖν ἔλαχεν ἡ Ἰνδία Ἰούδᾳ Θωμᾷ τῷ καὶ Διδύμῳ· οὐκ ἐβούλετο δὲ ἀπελθεῖν, λέγων μὴ δύνασθαι μήτε χωρεῖν διὰ τὴν ἀσθένειαν τῆς σαρκός, καὶ ὅτι ‚ἄνθρωπος ὢν Ἑβραῖος πῶς δύναμαι πορευθῆναι ἐν τοῖς Ἰνδοῖς κηρῦξαι τὴν ἀλήθειαν;‘ καὶ
191 T. ταῦτα αὐτοῦ διαλογιζομένου καὶ λέγοντος ὤφθη αὐτῷ ὁ σωτὴρ διὰ
147 W. τῆς νυκτὸς καὶ λέγει αὐτῷ· ‚μὴ φοβοῦ, Θωμᾶ, ἄπελθε εἰς τὴν Ἰνδίαν καὶ κήρυξον τὸν λόγον· ἡ γὰρ χάρις μου ἔσται μετὰ σοῦ.‘ ὁ δὲ οὐκ ἐπείθετο, λέγων· ‚ὅπου βούλει με ἀποστεῖλαι ἀπόστειλον ἀλλαχοῦ· εἰς
6 Th. Ἰνδοὺς γὰρ οὐκ ἀπέρχομαι.‘

2 καὶ ταῦτα αὐτοῦ λέγοντος καὶ ἐνθυμουμένου ἔτυχεν ἔμπορόν τινα εἶναι ἐκεῖ ἀπὸ τῆς Ἰνδίας ἐλθόντα τοὔνομα Ἀββάνην, ἀπὸ τοῦ βασιλέως Γουνδαφόρου ἀποσταλέντα καὶ ἐντολὴν παρ' αὐτοῦ εἰληφότα

---

post κλήματι | ἡμῶν: CE αὐτῶν 2 ἀπέστειλε cum BCDE: A ἀποστέλλει | κλῆρον: E κλῆμα | οὖν: E δέ | ἡ Ἰνδία: E post Δίδυμον ponit 2-3 Ἰούδᾳ (C om) Θωμᾷ τῷ (D om) καὶ Διδύμῳ: B Ἰούδαν Θωμᾶν τὸν καὶ Δίδυμον, E Ἰούδαν τὸν καὶ Θωμᾶν λεγόμενον Δίδυμον 3 οὐκ ἐβούλ. δέ: E ὁ δὲ οὐκ ἐβούλ. 3-4 λέγων μὴ (B οὐ) δύνασθαι (codd duo om λέγ. μὴ δύν.) μήτε (BE μηδὲ) χωρ. (E add διδάξαι) 4 ὤν: B εἰμί 5 πῶς cum BCDE: A οὐ | πορευθῆναι (E ἀπελθεῖν) ἐν τοῖς (E om) Ἰνδοῖς (E add καὶ) κηρῦξαι: B πορευθεὶς κηρῦξαι τοῖς Ἰνδοῖς 5-6 καὶ ταῦτα αὐτοῦ cum AD (om αὐτοῦ) E: BC om καί 6 B λογιζομένου | ὁ σωτήρ: E ὁ κύριος 6-7 διὰ τῆς νυκτός cum ACE: BD om τῆς 7 E om μὴ φοβοῦ 7-8 ἄπελθε εἰς τὴν (E om) Ἰνδ. καὶ κήρυξον: B ἀπελθεῖν καὶ κηρῦξαι 8 κήρυξον cum AE: alii add ἐκεῖ | C τὸν λόγον μου | χάρις μου: A om μου | ἔσται: E ἔστω 9 B βούλῃ | με ἀποστεῖλαι cum ACD (CD ἀποστ. με): BE om, sed E add κύριε | ἀπόστειλ. ἀλλαχοῦ cum AB (ἀπ. με ἀλλ.): CE ἀλλ. ἀπόστ. (E add με), D om ἀλλαχ.

11 λέγοντ. καὶ ἐνθυμ. (B ἐνθυμ. κ. λέγ.): E ἔχοντος ἐν εὐχῇ 11-12 ἔτυχεν etc: E ἐνέτυχεν ἐμπόρῳ τινὶ ὀν. Ἀβάνῃ, σταλέντι ἀπὸ τοῦ βασ. Γουνδ. καὶ ἐ. π. α. εἰληφότι 12 τοὔνομα cum A; B ᾧ ὄνομα: CDE ὀνόματι | AB Ἀββάνης | B ἀποσταλεὶς καὶ ἐντολὰς παρ' αὐτοῦ λαβὼν 3, 1 πριάμενον: E πριάσασθαι καί | ἐν τῇ:

2 ἀποστέλλει P ἀπέστειλεν QRS | πορευθείη P αὐτὸν πορευθῆναι R | ἡ om R ‖ 2-3 ἰούδαν θωμᾶν τὸν καὶ δίδυμον· ὁ δὲ οὐκ ἐβ. ἀπ. PS ‖ 3 τῷ καὶ] καὶ τῷ καὶ (sed del prius καὶ) Q | ἠβούλετο R | δὲ] γὰρ R ‖ 3-4 μὴ — χωρεῖν om P ‖ 3 μήτε] μὴ δὲ S ‖ 4 χωρ . . . σθένειαν (membr scissa) Q ‖ 4-6 καὶ ὅτι — ταῦτα] μὴ δὲ εἰδὼσ τὴν χώραν, ἢ τὴν γλῶσσαν τοῦ ἔθνουσ· ταῦτα δὲ P ‖ 4 ἑβραῖοσ ὢν S ‖ 5 πορ. ἐν om S | ἰνδίοισ S | καὶ om S ‖ 6 σωτὴρ] κύριοσ S ‖ 7 ἀπελθεῖν S ‖ 8 κ. κήρ. (κηρύξαι S) ἐκεῖ τ. λ. PQRS | ἐστιν Q ‖ 9 βούλη S | με ἀποστεῖλαι om R | με — ἀλλ.] ἀπόστειλόν με ἀλλ. P ἀλλ. ἀπόστειλόν με S ‖ 11 ἐνθ. καὶ λέγ. P | κ. ἐνθ. om S | ἔτυχε R ‖ 11-12 τινὰ ἔμπ. PRS ‖ 12 ᾧ ὄνομα ἀββάνησ (βασemiras P ἀμβανήσ R) PQR ὀνόματι ἀββανὴσ (hoc accentu constanter) S ‖ 13 γουνταφόρου R γουνδιαφόρου S | ἀποσταλεὶσ P

τέκτονα πριάμενον ἀγαγεῖν αὐτῷ. ὁ δὲ κύριος ἰδὼν αὐτὸν ἐν τῇ
ἀγορᾷ περιπατοῦντα τὸ μεσημβρινὸν εἶπεν αὐτῷ· ‚βούλει τέκτονα
πρίασθαι;‘ ὃ δὲ εἶπεν αὐτῷ· ‚ναί.‘ καὶ ὁ κύριος ἔφη αὐτῷ· ‚ἔχω
δοῦλον τέκτονα καὶ βούλομαι αὐτὸν πωλῆσαι.‘ καὶ ταῦτα εἰπὼν
ὑπέδειξεν αὐτῷ τὸν Θωμᾶν ἀπὸ μακρόθεν, καὶ συνεφώνησεν μετ᾽
αὐτοῦ τριῶν λιτρῶν ἀσήμου ἀργυρίου, καὶ ἔγραψεν ὠνὴν λέγων· ‚ἐγὼ
Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ τοῦ τέκτονος ὁμολογῶ πεπρακέναι τὸν ἐμὸν
δοῦλον, Ἰούδαν ὀνόματι, σοὶ τῷ Ἀββάνῃ ἐμπόρῳ Γουνδαφόρου τοῦ
βασιλέως τῶν Ἰνδῶν.‘ τῆς δὲ ὠνῆς τελεσθείσης ὁ σωτὴρ παραλαβὼν
Ἰούδαν τὸν καὶ Θωμᾶν ἤγαγε πρὸς Ἀββάνην τὸν ἔμπορον· καὶ ἰδὼν 7 Th.
αὐτὸν ὁ Ἀββάνης εἶπεν πρὸς αὐτόν· ‚οὗτός ἐστιν ὁ δεσπότης σου;‘ καὶ
ἀποκριθεὶς ὁ ἀπόστολος εἶπεν· ‚ναί, κύριός μού ἐστιν.‘ ὃ δέ φησιν· 192 T.
‚ἠγόρασά σε παρ᾽ αὐτοῦ.‘ καὶ ὁ ἀπόστολος ἡσύχασεν.

3 τῇ δὲ ἑξῆς ὄρθρου εὐξάμενος καὶ δεηθεὶς τοῦ κυρίου εἶπεν
ὁ ἀπόστολος· ‚πορεύομαι ὅπου βούλει, κύριε Ἰησοῦ· τὸ θέλημα τὸ
σὸν γενέσθω.‘ ἀπῆλθεν δὲ πρὸς Ἀββάνην τὸν ἔμπορον μηδὲν ὅλως 148 W.

C om τῇ 2 τὸ μεσημβρινὸν εἶπεν: E ἐν ὥρᾳ μεσημβρίας ἔφη | B βούλῃ 3 πρίασθαι (A -ᾶσθαι): E πριάσασθαι | καὶ ὁ κύρ. ἔφη (B εἶπεν) αὐτῷ: E εἶπε δὲ ὁ κύριος 4 E om ταῦτα εἰπών 6 C τρεῖς λίτρας | ἀσήμου (C om) ἀργυρίου (E ἀργύρου, A om) | E om ὠνήν 7 ὁ (A om) υἱὸς Ἰω. τ. τέκτονος: E ὁ κύριος τοῦ Θωμᾶ. B om | τὸν ἐμόν: A (item ut uidetur alii) om τόν 8 Ἰούδαν: BCE Θωμᾶν | BC om ὀνόματι | E Ἀβάνῃ 8-9 τοῦ (E om) βασιλ. τῶν (A om) Ἰνδ. 9 E τῆς δὲ ὤνης (hoc accentu) πληρωθείσης 10 Ἰούδαν τὸν καὶ (A add τὸν) Θωμᾶν: C Θωμᾶν τὸν Δίδυμον. alii Ἰούδαν Θωμᾶν τὸν καὶ Δίδυμον | ἤγαγε cum A: alii ἀπήγαγε | τὸν ἔμπορον: A om τόν 11 ὁ Ἀββάνης: B om ὁ 12 ὁ ἀπόστολος: B add Θωμᾶς | κύριος cum AB: C ὁ κύριος | ὁ δέ: B add ἔμπορος 13 ὁ ἀπόστολος: B add Θωμᾶς | ἡσύχασεν cum BC: A ἡσύχαζεν 9-13 ὁ σωτὴρ παραλαβών usque ὁ ἀπόστολος ἡσύχασεν: E pro his nil nisi haec habet: παρέλαβεν αὐτὸν ὁ ἔμπορος.

15 ὁ ἀπόστολος h. l. cum A; E post εὐξάμενος; alii ante εἶπεν (E ἔφη), praetereaque B add Θωμᾶς | B βούλῃ 15-16 E κύριε ὁ θεός, τὸ σὸν θέλημα 16 ἀπῆλθ. δέ (A om δέ): E καὶ ἀπῆλθε | E om Ἀββάνην | ὅλως τι: BCE om

1 πριασάμενοσ R πριάσασθαι καὶ S ‖ 2 λέγει RS ‖ 3 πριάσασθαι (primum α semiras P) PRS πριᾶσθαι Q | ναί] ναὶ κύριε R ‖ 3 ἔφη] εἶπεν S | αὐτῷ om S ‖ 5 ἀπὸ om RS 5-7 μακρό . . . νλ . . . ασῃ . . . γραφ (?) . . . νλέγων ἐγ . . . σηφ τοῦ τέκτονοσ Q 6 ἀργυρίου om PRS | ὠνὴν] τὴν ὠνὴν αὐτοῦ S | λέγ.] λέγ. τάδε R ‖ 7 ὁ om PRS | τοῦ τέκτονος om S | τὸν om PQRS | ἐμὸν om S ‖ 8 Ἰούδ. ὀν.] ὀν. θωμᾶν RS | ἀμβανῆ R | γουνταφόρου R γουνδιαφόρου S | τοῦ om P ‖ 9 τῶν om S | post ἰνδῶν add εἰσ λιτρῶν τριῶν ἀσήμου R | τελειωθείσησ R ‖ 10 ἀπήγαγεν PQR καὶ ἀπαγάγει S | ἀμβανὴν R | καὶ om S ‖ 11 ἀμβανὴσ R ‖ 12 φησιν] ἔφη R ‖ 13 σε τοίνυν παρ᾽ αὐτοῦ. ὁ δὲ ἀπ. S ‖ 14 ὄρθ.] τοῦ ὄρθρου R ὄρθρου γεναμένου S om P ‖ 15 ὁ ἀπ. om S | κύριε ἰησοῦ ante ὅπου P | βούλῃ PQS | Ἰησοῦ om S ‖ 15-16 τὸ σὸν] σου κύριε R σου S ‖ 16 γινέσθω Q | ἀπῆλθε δὲ καὶ πρὸσ ἀμβανὴν R

τι μεθ' ἑαυτοῦ κομισάμενος ἀλλ' ἢ το τίμημα αὐτοῦ μόνον. δεδώκει γὰρ αὐτῷ ὁ κύριος λέγων· ,ἤτω μετὰ σοῦ καὶ ἡ τιμή σου μετὰ
8 Th. τῆς χάριτός μου, ὅπου ἂν ἀπέρχῃ.' κατέλαβεν δὲ ὁ ἀπόστολος τὸν Ἀββάνην τὰ σκεύη αὐτοῦ ἀναφέροντα εἰς τὸ πλοῖον· ἤρξατο οὖν καὶ αὐτὸς συναναφέρειν αὐτῷ. ἐμβάντων δὲ αὐτῶν καὶ καθεσθέντων ἐξήταζεν ὁ Ἀββάνης τὸν ἀπόστολον λέγων· ,ποίαν ἐργασίαν οἶδας;' ὁ δὲ ἔφη· ,ἐν μὲν ξύλοις ἄροτρα καὶ ζυγοὺς καὶ τρυτάνας καὶ πλοῖα καὶ κώπας πλοίων καὶ ἱστοὺς καὶ τροχίσκους, ἐν δὲ λίθοις στήλας καὶ ναους καὶ πραιτώρια βασιλικά.' εἶπε δὲ αὐτῷ ὁ Ἀββάνης ὁ ἔμπορος· ,τοιούτου γὰρ καὶ χρείαν ἔχομεν τεχνίτου.' ἤρξαντο οὖν καταπλέειν· ἔσχον δὲ ἐπιτήδειον ἄνεμον, καὶ προθύμως ἔπλεον ἕως
9 Th. ὅτε κατήντησαν εἰς Ἀνδράπολιν, πόλιν βασιλικήν.

4 ἐξελθόντες δὲ ἀπὸ τοῦ πλοίου εἰσίεσαν εἰς τὴν πόλιν. καὶ
149 W. ἰδοὺ φωναὶ αὐλητῶν καὶ ὑδραύλεων καὶ σάλπιγγες περιηχοῦσαι

τί 1 ἀλλ' ἤ: BE εἰ μή | μόνον: E om; B μόνον ἔχων 1-2 δεδώκει (sic A; alii ἐδεδ.) γάρ: E ὃ δέδωκεν 2 ἤτω - - μετὰ τῆς χάρ. μου: E ἤτω τὸ τίμημα μετὰ σοῦ καὶ ἡ χάρις μου 3 ἄν: C ἐάν, E δ' ἄν 3-4 E τ. Ἀβάνην ἀναφέρ. τὰ σκεύη αὐτοῦ εἰς. A om τὰ σκεύη αὐτοῦ 4 οὖν καί: B δὲ καί 5 ἐμβ. δὲ αὐτῶν cum AE: alii add εἰς τὸ πλοῖον 6 E ἐξέταζεν (B ἐξήτασεν) ὁ ἀπόστολος τὸν ἔμπορον λέγων | BC λέγων αὐτῷ 6-7 ὁ δὲ ἔφη: B ἀποκριθεὶς δὲ ὁ ἀπόστολος Θωμᾶς ἔφη πρὸς αὐτόν 7 A om καὶ πλοῖα. 7-8 E sic: ἄροτρα, ζυγούς, τρυτάνας, κώπας, πλοῖα, ἱστούς, τροχαλαίας 8 στήλας: ita A, alii add τε. 8-9 E rursus στήλας, ναούς, πρετώρ. βασ. 9-10 εἶπ. δὲ αὐτ. ὁ (ita AC; B om) Ἀββ. ὁ ἔμπ. (C om ὁ ἔμπ.): E καὶ ἀποκριθεὶς ὁ ἔμπορος ἔφη 10 γὰρ καί: E καὶ γάρ | BE χρ. ἔχω 11-12 ἔσχον δὲ etc: E καὶ εἶχον ἄνεμον ἐπιτήδειον· προθύμως δὲ πλέοντες κατήντησαν εἰς | ἕως ὅτε: B ἕως ὅτου.

13-5, 1 ἐξελθόντες - - εἰσίεσαν (A εἰσίησαν, alii εἰσίεσαν, B ἀπίεσαν, Th. (ut E) εἰσήεσαν - - καὶ ὑδραυλέων (C om κ. ὑδρ.) σάλπιγγες (ita E; A σάλπιγγαι;

1 τι om S | μεθ' ἑ. κομ.] ἔχων μεθ' ἑ. R | ἀλλ' ἢ] εἰ μὴ P | δέδωκεν QRS || 2 γὰρ] δὲ R | ἔστω P | μετὰ σοῦ om S || 3 μου] μου σὺν σοὶ S | ἂν] ἐὰν R δ' ἂν S | ὑπάρχησ R | ὁ ἀπόστ. om P || 4 ἀββάνην ἴσωσ τὰ Q ἀμβανὴν ἴσοσ τὰ R ἀββανὴ εἰσ ὃν τὰ S | φέροντα R | ἐν τῷ πλοίῳ RS || 4-6 οὖν . . . φερ . . . ναυ . . . αν . . . ω . . . δ . . . ω . . . τοπλ . . . και καθε . . . των ἐξήταζεν Q || 4-5 ἤρξατο — αὐτῷ om S || 5 post αὐτῶν add εἰσ τὸ πλοῖον PRS || 6 ἀμβανὴσ R | λέγων αὐτῷ π. PQR || 7 τριττάνασ R τρϊτάνασ S || 8 τροχηλίσκουσ R | στ.] στήλασ τὲ QR || 9 εἶπεν PQR | αὐτῷ om S | ὁ prius om QRS | ἀμβανὴσ R || 9-10 ὁ ἔμπ. om PS || 10 γάρ — ἤρξαντο] καγὼ τεχνήτου χρείαν ἔχω· ἀρξάμενοι P | γὰρ καὶ om S || 11-12 ἔσχον — ὅτε] καὶ αἰσίου αὐτοῖσ πνεύσαντοσ ἀνέμου P || 11 ἔσχον δὲ] καὶ ἔσχον S | προθ. ἔπλ.] ἡδέωσ κατέπλεον R || 11-12 ἕωσ ἐκατήντησαν S || 12 ἀδράπολιν Q ἀνδρόπολιν S | πόλιν om S | post βασιλικήν. inscr περὶ τοῦ ῥαπίσαντοσ αὐτόν. P || 13 δὲ] οὖν P | εἰσῆλθον P εἰσήεισαν Q εἰσήεσαν R || 14 αὐλ.] τῶν αὐλ. R | σάλπιγγαι P | περιήχουν PQRS

αὐτούς· ἐξήταζεν δὲ ὁ ἀπόστολος λέγων· ‚τίς ἐστιν αὕτη ἡ ἑορτὴ ἡ 193 T.
ἐν τῇ πόλει ταύτῃ;‘ ἔλεγον δὲ αὐτῷ οἱ ἐκεῖσε ὅτι ‚καὶ σὲ οἱ θεοὶ ἤγαγον, ἵνα εὐωχηθῇς ἐν τῇ πόλει ταύτῃ. ὁ γὰρ βασιλεὺς θυγατέρα μονογενῆ ἔχει, καὶ νῦν αὐτὴν ἐκδίδωσιν ἀνδρὶ πρὸς γάμον· τῶν οὖν 10 Th.
γάμων ἡ χαρὰ καὶ ἡ πανήγυρίς ἐστιν αὕτη σήμερον ἣν εἶδες ἑορτήν. ὁ δὲ βασιλεὺς κήρυκας ἀπέστειλε κηρῦξαι πανταχοῦ πάντας παρατυχεῖν εἰς τοὺς γάμους, πλουσίους καὶ πένητας, δούλους καὶ ἐλευθέρους, ξένους καὶ πολίτας· εἴ τις δὲ παραιτήσηται καὶ μὴ παρατύχῃ εἰς τοὺς γάμους, ὑπεύθυνος ἔσται τῷ βασιλεῖ.‘ Ἀββάνης δὲ ἀκούσας εἶπε τῷ ἀποστόλῳ· ‚ἀπέλθωμεν οὖν καὶ ἡμεῖς, ἵνα μὴ προσκρούσωμεν τῷ βασιλεῖ, καὶ μάλιστα ξένοι ὄντες.‘ ὁ δὲ εἶπεν· ‚ἀπέλθωμεν.‘ καὶ καταλύσαντες ἐν τῷ ξενοδοχείῳ καὶ ὀλίγον ἀναπαύσαντες ἀπῆλθον εἰς τοὺς γάμους. καὶ ἰδὼν ὁ ἀπόστολος ἀνακεκλιμένους πάντας, ἀνεκλίθη καὶ αὐτὸς ἐν τῷ μέσῳ· ἀπέβλεπον δὲ εἰς αὐτὸν πάντες ὡς

---

alii σαλπίγγων) περιηχοῦσαι (CE περιήχουν) αὐτούς (ita A; E aliique αὐτοῖς): B ὡς δὲ ἀπέβησαν εἰς τὴν γῆν καὶ ἀπίεσαν εἰς τὴν πόλιν, φωνῆς ἤκουον συρίγγων καὶ ἱδραυλέων καὶ αὐλούντων 1 ἐξήταζεν (E ἐπηρώτησε) - - ἡ (ita E; A aliique om) ἐν τ. π. ταύτῃ: B ὁ δὲ Θωμᾶς ἠρώτα τὴν πρόφασιν τῆς κατὰ πόλιν τέρψεως 2 ἔλεγον (E εἶπον) - - οἱ ἐκεῖσε (ita CE; A οἱ ἐκεῖ) ὅτι (E om): B οἱ δὲ ἐρωτηθέντες ἀπεκρίναντο ὅτι 3 ἵνα - - ταύτῃ (E om ταύτῃ): B ὅπως μεθ' ἡμῶν εὐφρανθῇς | βασιλεύς: B add ἡμῶν, φασί 3-4 E θυγατέραν ἔχει μονογενῆ 4 νῦν αὐτήν: B ταύτην | E ἐκδίδει πρὸς γάμον (B om πρ. γάμ.) ἀνδρί 4-5 τῶν οὖν - - ἑορτήν: E om; B καὶ ἡ φωνὴ αὕτη γαμήλιός ἐστιν 6-7 ὁ δὲ βασιλ. - - πάντας (C πᾶσι τοῦ) π. ε. τ. γάμους: E ἀπέστειλε δὲ ὁ βασιλ. κήρυκας πανταχοῦ εἰς τοὺς γάμους ὥστε παρατυχεῖν 7 CE πλουσ. τε καί | C δούλ. τε καί 8 CE ξένους τε καί | καὶ μὴ παρατύχῃ: E καὶ οὐ τύχῃ (codex - χει) 9 Ἀββ. δὲ ἀκούσας: E καὶ ἀκούσας ὁ ἔμπορος 10 οὖν καὶ: CE om οὖν 11 καὶ μάλιστα: E om καί 11-12 καὶ καταλύσαντες: CE καταλ. δέ 12 A ξενοδοχίῳ | E om καὶ ὀλίγ. ἀναπαύσαντες (C ἀναπαέντες) 14 C εἰς τὸ μέσον | ὡς εἰς (A om) ξένον καὶ ἐξ

1 αὐτοῖσ P | ἐξέταζεν RS | τί S | ἡ ἑορτὴ αὕτη R ‖ 1-2 ἡ ἐν — ταύτῃ om R | ἡ ἐν] ἐν PQS ‖ 2 ταύτῃ om S | ἐκεῖσε] τῆσ πόλεωσ P ἐκεῖ QRS ‖ 3 εὐωχ.] καὶ σὺ συνευωχηθὴσ (— θεὶσ S) PS εὐωγηθεὶσ Q ‖ 4 αὐτῇ PR | πρὸσδίδωσιν R ἐκδίδωσι S | ἀνδρὶ om QS ‖ 4-5 τῶν — αὕτη] τῶν γὰρ τοιούτων ἡ πανήγυρισ καὶ ἡ χαρά ἐστι S | τοῦ οὖν γάμου R ‖ 5 πανήγ.] προσκύνησισ P | αὕτη om R | ἣν ε. ἑορτὴν om S | ὁρᾷσ P ‖ 6 ὁ δε β . . . υκασ ἀπέ . . . λεν Q | δὲ] γὰρ S | ἀπέστειλεν εἰσ τὴν πόλιν ἅπασαν ἐκείνην κηρύξαι R | κήρυκας ἀπέστ. om P | κηρύττει P | πανταχοῦ . . ντασ Q om R | παραγενέσθαι S ‖ 7-8 πλ. τὲ καὶ π. δ. τὲ καὶ ἐλ. PQR ‖ 8 ξ. τὲ καὶ π. PQRS | εἴ — παρατύχῃ] καὶ ὃσ ἂν μὴ παραγένηται S | παραιτήσεται R | οὐ παρατύχει R ‖ 9 ἀμβανὴσ R | ἀκούσας om S ‖ 10 εἶπεν PQ λέγει RS | οὖν om S ‖ 11 μάλλιστα R ‖ 11-12 καὶ καταλ.] καταλ. δὲ PQS καταλ. R ‖ 12 εἰσ τὸ πανδοχεῖον R | πανδοχίῳ S | ἀναπαέντεσ PQRS ‖ 13-14 καὶ ἰδὼν — μέσῳ] ἀνακληθῆναι· ὁ δὲ ἀπόστολοσ μέσον πάντων ἀνεκλήθη S ‖ 13 ἀνακ. τοὺσ πάντασ R ‖ 14 μέσῳ] μέσω αὐτῶν R

εἰς ξένον καὶ ἐξ ἀλλοδαπῆς ἐλθόντα γῆς· Ἀββάνης δὲ ὁ ἔμπορος ὡς
Th. ἅτε δεσπότης εἰς ἄλλον τόπον ἀνεκλίθη.

5 δειπνησάντων δὲ αὐτῶν καὶ πιόντων ὁ ἀπόστολος οὐδενὸς
ἐγεύσατο· οἱ οὖν περὶ αὐτὸν ὄντες ἔλεγον αὐτῷ· ‚τί ἦλθες ἐνθάδε,
194 T. μήτε ἐσθίων μήτε πίνων;‘ ὁ δὲ ἀπεκρίνατο αὐτοῖς λέγων· ‚δια μεῖζόν
τι τῆς βρώσεως ἢ καὶ τοῦ πότου ἦλθον ἐνθάδε, καὶ ἵνα τὸ θέλημα
τοῦ βασιλέως τελέσω. οἱ γὰρ κήρυκες κηρύσσουσι τὰ τοῦ βασιλέως,
καὶ ὃς ἂν μὴ ἀκούσῃ τῶν κηρύκων, ὑπόδικος ἔσται τῇ τοῦ βασιλέως
150 W. κρίσει.‘ δειπνησάντων οὖν αὐτῶν καὶ πιόντων, καὶ στεφάνων καὶ
μύρων προσενεχθέντων, λαβόντες μύρον ἕκαστος, ὃς μὲν τὴν ὄψιν
12 Th. αὐτοῦ κατήλειφεν, ὃς δὲ τὸ γένειον, ὃς δὲ καὶ ἄλλους τόπους τοῦ
σώματος αὐτοῦ· ὁ δὲ ἀπόστολος τὴν κορυφὴν ἤλειψε τῆς ἑαυτοῦ
κεφαλῆς, καὶ ὀλίγον τι εἰς τοὺς μυκτῆρας ἐπέχρισεν ἑαυτοῦ, κατέ-
σταξεν δὲ καὶ εἰς τὰς ἀκοὰς τὰς ἑαυτοῦ, προσῆπτε δὲ καὶ τοῖς ὀδοῦσιν

(A om) ἀλλοδ. ἐλθόντα γῆς (C χώρας ἐλθόντα): E ὡς ἀπὸ ξένης καὶ ἀλλοδ. χώρας ἐλθόντα 1 E Ἀβάνης 1-2 ὡς ἅτε: E om ὡς 2 E δεσπότης ὤν | ἄλλον: E ἕτερον | E ἐκλίθη

3 πιόντων: E εὐφρανθέντων 4 E οἱ οὖν συνανακείμενοι αὐτῷ ἔλεγον τί 5 ἀπεκρίν. α. λέγων: E ἔφη | E διὰ τὸ μεῖζον 6 ἢ καί: CE om ἢ | ἐνθάδε: E ὧδε | καὶ ἵνα: E ἀλλ' ἵνα 7-9 τελέσω· οἱ γὰρ κήρ. κηρύσσουσι (h l cum A; alii post βασιλέως) τὰ - - βασιλέως κρίσει: E τελέσω, ἦλθον· ἵνα μὴ ὑπόδικος φανῶ τῇ τοῦ βασ. κρίσει 9-12 δειπνησάντων - - καὶ πιόντων (E om κ. πι.), κ. στεφ. κ. μύρ. (E κ. μύρ. κ. στεφ.) - - μύρον (E om) ἕκαστος, - - ὄψιν αὐτοῦ (C ἑαυτοῦ) - - ὃς (E ἄλλος) δὲ καὶ ἄλλους τόπους (E δέ τινα μέρη) τ. σ. αὐτοῦ (E om): B ἐπεὶ δὲ τοῦ ἐσθίειν καὶ πίνειν κόρον ἔσχον, λοιπὸν περὶ τοῦ ἀλείφεσθαι σπουδαῖοι ἐγίγνοντο, καὶ οἱ μὲν τὰς ὄψεις ἐχρίοντο, οἱ δὲ τὸ γένειον, ἕτεροι δὲ τὰ ἄλλα μέρη. 12-7, 4 ὁ δὲ ἀπόστολος - - τῆς ἑαυτοῦ (E αὐτοῦ) κεφαλῆς, κ. ὀλ. τι εἰς τ. μ. ἐπέχρ. ἑαυτοῦ (E τι ἐπέχρισε τοὺς αὐτοῦ μυκτ.), κατέσταξεν (C κατένυξε) - - ἀκοὰς τὰς (E om) ἑαυτοῦ (E αὐτοῦ), προσῆπτε δ. κ. τ. ὀδ. αὐτοῦ (E om προ-

1 εἰς] ἅτε S om R | καὶ ἐξ] ὄντα καὶ ἀπ' S | γῆσ ἐλθόντα R χώρασ ἐληλυθότα S | ἀμβανὴσ R ‖ 1-2 ὁ ἔμπ. — δεσπότης om S | ὡς ἅτε] αὐτοῦ ὡσ ὢν R ‖ 2 ἐκλίθη R ἐκαθέσθη S ‖ 3 αὐτῶν] πάντων S ‖ 4 λέγουσιν P | τί] σὺ τί S ‖ 5 ὁ δὲ ἀπόστολοσ ἀπεκρ. S ‖ 5-6 μείζ . . . καὶ το . π . του . . . ον εν . αδε καὶ Q | διὰ μ. τι] ἐγὼ οὐ διὰ S ‖ 6 ἢ om PS | τοῦ] τῆσ R om S | ποτοῦ P πώσεωσ R πόσεωσ S | καὶ ἵνα] ἀλλ' ἵνα RS ‖ 7 πληρώσω R | γὰρ om P | τὰ (κατὰ R) τ. βασ. κηρύσσουσιν PQR | τὰ τ. βασ. om S ‖ 9 αὐτῶν om RS | πιόντων] εὐφρανθέντων S ‖ 10 post προσενεχθ. add αὐτῶν R | ἕκ. μῦρον S | μύρον om P | 11 κατείλειφεν P | ὃς δὲ — γένειον om R | καὶ] τοὺσ S ‖ 12-13 ἤλ. — κεφ.] αὐτοῦ ἤλειφεν R εἴληφεν τῆσ κεφαλῆσ αὐτοῦ S ‖ 12 εἴλειφε P ἤλειψεν Q | αὐτοῦ PQ | 13 τι om PS | εἰς om R | αὐτοῦ ἐπέχρησεν (ἐπέχρισεν S) PS αὐτοῦ ἀπέχρισεν R ‖ 14 ἑαυτοῦ ἀκοὰσ R | τὰς post ἀκ. om QRS | αὐτοῦ S | προσῆπτε δὲ om P | προσῆπτεν R προσήπτετο S | ὀδοῦσι PQ

αὐτοῦ, καὶ τὰ περὶ τὴν καρδίαν ἑαυτοῦ συνέχρισεν ἐπιμελῶς· καὶ τὸν στέφανον δὲ τὸν προσενεχθέντα αὐτῷ ἐκ μυρσίνης καὶ ἄλλων ἀνθέων πεπλεγμένον λαβὼν ἐπέθετο τῇ ἑαυτοῦ κεφαλῇ, κλάδον δὲ καλάμου ἔλαβεν ἐν τῇ χειρὶ αὐτοῦ καὶ κατεῖχεν.

ἡ δὲ αὐλήτρια κατέχουσα ἐν τῇ χειρὶ αὐτῆς τοὺς αὐλοὺς περιήρχετο πάντας· ὅτε δὲ ἦλθε καθ' ὃν τόπον ἦν ὁ ἀπόστολος, ἔστη ἐπάνω αὐτοῦ, καταυλοῦσα πρὸς τὴν κεφαλὴν αὐτοῦ ὥραν πολλήν. ἦν δὲ Ἑβραία τῷ γένει ἡ αὐλήτρια ἐκείνη.

6 τοῦ δὲ ἀποστόλου εἰς τὴν γῆν ἀφορῶντος εἷς τις τῶν οἰνοχόων 195 T.
ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐράπισεν αὐτόν. ἐπάρας δὲ ὁ ἀπόστολος τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ προσχὼν τῷ τύψαντι αὐτὸν εἶπεν· ,ὁ θεός μου ἀφήσει σοι εἰς τὸν μέλλοντα αἰῶνα τὴν ἀδικίαν ταύτην, εἰς δὲ τὸν κόσμον τοῦτον δείξει αὐτοῦ τὰ θαύματα, καὶ θεάσομαι ἤδη τὴν χεῖρα ἐκείνην τὴν τύψασάν με ὑπὸ κυνὸς συρομένην.' καὶ εἰπὼν ταῦτα ἤρξατο ψάλλειν καὶ λέγειν τὴν ᾠδὴν ταύτην·

σῆπτε usque ὀδ. αὐτοῦ) - - καρδ. ἑαυτοῦ (E αὐτοῦ) συνέχρισεν (E ἐπέχρ.) - - στέφ. δὲ (E om) τ. προσενεχθέντα (E δοθέντα) - - λαβὼν (E om) ἐπέθετο (E ἐπέθηκε) τῇ ἑαυτ. κεφ. (E τῇ κεφ. αὐτοῦ), κλάδον δὲ καλ. ἔλαβ. (E καὶ λαβὼν κλάδον κατεῖχεν) ἐν τ. χ. α. καὶ κατεῖχ. (E om κ. κατ.): B Ἰούδας δὲ τῆς κεφαλῆς τὸ μέσον ἠλείψατο καὶ τὰς ῥῖνας μικρὸν ὑπέχριεν, ἐπήλειφε δὲ καὶ τὰ ὦτα, προσέφερε δὲ καὶ τοῖς ὀδοῦσι καὶ τὴν καρδίαν κατέβρεχε, στέφανον δὲ μυρσίνης ἐπὶ τῆς κεφαλῆς ἐπικείμενον καὶ τῇ χειρὶ φύλλον καλάμου κατεῖχεν.

5-6 ἡ δὲ αὐλήτρια - - χειρὶ αὐτῆς (E αὐτ. χειρ.) - - περιήρχετο πάντας (E add αὐλοῦσα, C καὶ ηὔλει): B ἦν δὲ ἐκεῖ αὐλήτρια περιερχομένη πάντας τοὺς ἑστιάτορας 6 E ὅτε δὲ ἦλθεν εἰς τὸν τόπον ἐν ᾧ ἦν ὁ ἀπόστολος 7 καταυλοῦσα: E αὐλοῦσα | E om πρὸς τ. κ. α. ὥραν πολλήν

9 E om ἀποστόλου | E ὁρῶντος 10 ἐράπισεν cum A; E aliique ἐρράπισεν 11 E om τοὺς ὀφθ. αὐτοῦ | προσχὼν cum C (προσσχ.) E: A προσέχων | E τῷ τύψαντι αὐτῷ ἔφη | ὁ θε. μου: E om μου 12-13 E σοι τὴν ἁμαρτίαν ταύτην ἐν τῷ μέλλοντι αἰῶνι· ἐνταῦθα δὲ δείξει (A δείξῃ) κύριος τὰ θαυμάσια αὐτοῦ 13 ἤδη: A ἰδεῖν, E om 14 A χεῖραν | E om ἐκείνην | CE ὑπὸ κυνῶν

1 ἑαυτοῦ Q om P | τὰ περὶ om R | αὐτοῦ PQRS | ἔχρισεν R ‖ 2 δὲ om RS ‖ 3 πεπλεγμένων P πεπληρομένων R om Q | ἐπέθηκεν P ἀπέθετο R | κλ. δὲ] καὶ κλ. PS ‖ 4 ἐπὶ τὴν χεῖραν R | κατείχετο R ‖ 5 τ. αὐλ. ante ἐν P | ταῖσ χερσὶν R ‖ 5-7 περιήρχ . . . κεφαλ . . αὐτοῦ Q ‖ 6 πάντασ τοὺσ ἑστιάτορασ (τ. ἑστ. om S) καὶ ηὔλη· ὅτε PS εἰσ πάντασ καὶ ἤμβλει· ὅτἂν R | ἦλθεν PRS | καθ' ὣ ἦν τόπῳ S | ἦν ὁ ἀπ.] ὁ ἀπ. ἐκαθέζετο P ‖ 7 ἐπ. αὐτοῦ om S | καταυχοῦσαν R αὐλοῦσα S | τῇ κεφαλῇ αὐτοῦ περὶ ὥρ. π. S ‖ 10 αὐτοῦ τ. χ. S | χεῖραν R | ἐράπ. αὐτ.] ἔδωκε ῥάπισμα τῶ ἀποστόλω P ‖ 11 τύψ. αὐτῶ R ‖ 12 τὴν ἁμαρτίαν ταύτην εἰσ τ. μέλλ. αἰ. R ‖ 13 τοῦτ. τ. κόσμον S | δείξῃ PQR | θαυμάσια PQRS | κ. θεάσ.] θεάσ. γὰρ R | ἤδη om RS ‖ 14 ἐκείνην om PR | κυνῶν PQ κύνου R | ταῦτα εἰπὼν P ‖ 15—9, 4 ψάλλειν ἑβραϊστῇ· καὶ ὅτε ἐτέλεσεν τὴν εὐχήν, πάντεσ S

13 Th. ,ἡ κόρη τοῦ φωτὸς θυγάτηρ, ᾗ ἐνέστηκε καὶ ἔγκειται τὸ ἀπαύ-
γασμα τῶν βασιλέων· τὸ γαῦρον καὶ ἐπιτερπὲς ταύτης τὸ θέαμα,
φαιδρῷ κάλλει καταυγάζουσα· ἧς τὰ ἐνδύματα ἔοικεν ἐαρινοῖς ἄνθε-
σιν, ἀποφορὰ δὲ εὐωδίας ἐξ αὐτῶν διαδίδοται, καὶ ἐν τῇ κορυφῇ
ἵδρυται ὁ βασιλεὺς τρέφων τῇ ἑαυτοῦ ἀμβροσίᾳ τοὺς ἐπ' αὐτὸν ἱδρυ-
μένους· ἔγκειται δὲ ταύτης τῇ κεφαλῇ ἀλήθεια, χαρὰν δὲ τοῖς ποσὶν
151 W. αὐτῆς ἐμφαίνει· ἧς τὸ στόμα ἀνέῳκται πρεπόντως αὐτῇ· τριάκοντα
καὶ δύο εἰσὶν οἱ ταύτην ὑμνολογοῦντες· ὧν ἡ γλῶττα παραπετάσματι
ἔοικε τῆς θύρας ὃ ἐκτινάσσεται τοῖς εἰσιοῦσιν· ἧς ὁ αὐχὴν εἰς τύπον
βαθμῶν ἔγκειται ὃν ὁ πρῶτος δημιουργὸς ἐδημιούργησεν, αἱ δὲ δύο
αὐτῆς χεῖρες σημαίνουσι καὶ ὑποδεικνύουσι τὸν χορὸν τῶν εὐδαιμό-
196 T. νων αἰώνων κηρύσσουσαι, οἱ δὲ δάκτυλοι αὐτῆς τὰς πύλας τῆς πόλεως
ὑποδεικνύουσιν· ἧς ὁ παστὸς φωτεινός, ἀποφορὰν ἀπὸ βαλσάμου καὶ
14 Th. παντὸς ἀρώματος διαπνέων ἀναδιδούς τε ὀσμὴν ἡδεῖαν σμύρνης τε
καὶ φύλλου, ὑπέστρωνται δὲ ἐντὸς μυρσίναι καὶ ἄνθη πάμπολλα
15 Th. ἡδύπνοα, αἱ δὲ παστάδες ἐν καλάμῳ κεκόσμηνται.

7 περιεστοιχισμένην δὲ αὐτὴν ἔχουσιν οἱ ταύτης νυμφίοι, ὧν ὁ
ἀριθμὸς ἕβδομός ἐστιν, οὓς αὐτὴ ἐξελέξατο· αἱ δὲ ταύτης παράνυμφοί
16 Th. εἰσιν ἑπτά, αἳ ἔμπροσθεν αὐτῆς χορεύουσιν· δώδεκα δέ εἰσι τὸν
ἀριθμὸν οἱ ἔμπροσθεν αὐτῆς ὑπηρετοῦντες καὶ αὐτῇ ὑποκείμενοι, τὸν
σκοπὸν καὶ τὸ θέαμα εἰς τὸν νυμφίον ἔχοντες, ἵνα διὰ τοῦ θεάματος
αὐτοῦ φωτισθῶσιν, καὶ εἰς τὸν αἰῶνα σὺν αὐτῷ ἔσονται εἰς ἐκείνην
τὴν χαρὰν τὴν αἰωνίαν, καὶ καθήσονται ἐν τῷ γάμῳ ἐκείνῳ ἐν ᾧ οἱ
μεγιστᾶνες συναθροίζονται, καὶ παραμενοῦσιν τῇ εὐωχίᾳ ἧς οἱ αἰώνιοι
καταξιοῦνται, καὶ ἐνδύσονται βασιλικὰ ἐνδύματα καὶ ἀμφιάσονται
στολὰς λαμπράς, καὶ ἐν χαρᾷ καὶ ἀγαλλιάσει ἔσονται ἀμφότεροι, καὶ
δοξάσουσι τὸν πατέρα τῶν ὅλων· οὗ τὸ φῶς τὸ γαῦρον ἐδέξαντο, καὶ
ἐφωτίσθησαν ἐν τῇ θέᾳ αὐτοῦ τοῦ δεσπότου αὐτῶν, οὗ τὴν ἀμβροσίαν
152 W. βρῶσιν ἐδέξαντο μηδεμίαν ὅλως ἀπουσίαν ἔχουσαν, ἔπιον δὲ καὶ ἀπὸ

---

1 ἡ κόρη ἡ P | θύγατερ P ἡ θυγάτηρ Q | ἣ ἐνέστη PQ ‖ 2 ταύτης om P ‖ 3 ἔοικε P ‖ 5 ἐπ' αὐτὸν] ἑαυτῷ P ‖ 6-8 κεφαλῇ . . . χαρα . . . ποσιν αυτησ . . . εω . . . ωσαυτῇ τρια . . . ν εἰσιν Q ‖ 7 πρεπ.] καὶ πρεπ. P ‖ 8 ὑμν . λο . . . τεσ Q | ὧν] ἧσ PQ ‖ 8-9 παρα . . τάσματι ἔοικεν Q ‖ 9 ὃ] ᾧ P | εἰσιοῦσι Q ‖ 10 ὁ om PQ ‖ 11 σημαίνουσιν P | ὑποδεικνύουσιν P ‖ 12 κηρύσσοντεσ PQ ‖ 13 ὑποδεικνύουσι Q | ἀπὸ βαλσ.] ἀποβάλλουσά μου P ‖ 14 ἡδ.] ἰδίαν PQ ‖ 15 ὑπέστρωται PQ | μυρσύναι Q ‖ 15-16 ἀνθέων παμπολλῶν ἡδυπνόων PQ ‖ 16 κλειστάδεσ PQ | καλάμοισ PQ | κεκοσμηται P ‖ 18 αἱ] οἱ PQ ‖ 19 οἳ PQ | χορεύουσι Q | δέ om PQ | εἶσιν PQ ‖ 19-20 τῷ ἀριθμῷ Q ‖ 19 τὸν sed ο ex ω P ‖ 20-21 καὶ αὐτῇ . . . ν καὶ . . . ν . . . φίον (?) ἔχ . ντεσ Q ‖ 22 φωτισθῶσι Q ‖ 23 αἰώνιον PQ | καθήσ.] ἐσθονται P ἔσονται Q | ἐν prius om P ‖ 24 συναθροίζουσιν Q | παραμένουσιν P παραμένουσι Q ‖ 26 ἀγ.] ἐναγαλλιάσει Q ‖ 27 δοξάσωσι Q ‖ 28 αὐτοῦ om PQ ‖ 29 μηδὲν PQ

τοῦ οἴνου τοῦ μὴ δίψαν αὐτοῖς παρέχοντος καὶ ἐπιθυμίαν σαρκός· 17 Th.
ἐδόξασαν δὲ καὶ ὕμνησαν σὺν τῷ ζῶντι πνεύματι τὸν πατέρα τῆς
ἀληθείας καὶ τὴν μητέρα τῆς σοφίας.'
8 καὶ ὅτε ὕμνησε καὶ ἐτέλεσε τὴν ᾠδὴν ταύτην, πάντες οἱ ἐκεῖ
παρόντες εἰς αὐτὸν ἀπέβλεπον καὶ ἡσύχαζον· ἔβλεπον δὲ καὶ τὸ εἶδος 197 T.
αὐτοῦ ἐναλλαγέν, τὰ δὲ ὑπὸ αὐτοῦ λεχθέντα οὐκ ἐνόουν, ἐπειδὴ
αὐτὸς Ἑβραῖος ἦν καὶ τὰ λεχθέντα ὑπ' αὐτοῦ ἑβραϊστὶ ἐλέχθη. ἡ δὲ
αὐλήτρια πάντα ἤκουσεν μόνη, Ἑβραία γὰρ ἦν τὸ γένος, καὶ ἀπο-
στᾶσα ἀπ' αὐτοῦ ηὔλει τοῖς ἄλλοις, εἰς αὐτὸν δὲ τὰ πολλὰ ἀφεώρα
καὶ ἀπέβλεπεν· πάνυ γὰρ ἠγάπησεν αὐτὸν ὡς ἄνθρωπον ὁμόεθνον
αὐτῆς, ἦν δὲ καὶ τῇ εἰδέᾳ ὡραῖος ὑπὲρ πάντας τοὺς ἐκεῖσε ὄντας.
καὶ ὅτε ἐτέλεσεν ἡ αὐλήτρια πάντα αὐλήσασα, ἄντικρυς αὐτοῦ
καθεσθεῖσα ἀφεώρα καὶ ἠτένιζεν εἰς αὐτόν· αὐτὸς δὲ ὅλως εἰς οὐδένα 18 Th.
ἑώρα οὐδὲ προσεῖχέ τινι, εἰ μὴ μόνον εἰς τὴν γῆν εἶχε τοὺς ὀφθαλ-
μοὺς αὐτοῦ, προσδεχόμενος πότε ἀναλύσῃ ἐκεῖθεν. ὁ δὲ οἰνοχόος
ἐκεῖνος ὁ ῥαπίσας αὐτὸν κατῆλθεν εἰς τὴν πηγὴν ἀντλῆσαι ὕδωρ·
ἔτυχε δὲ ἐκεῖ εἶναι λέοντα, καὶ ἐξελθὼν ἐθανάτωσεν αὐτὸν καὶ
ἀφῆκε κεῖσθαι ἐν τῷ τόπῳ κατακόψας τὰ μέλη αὐτοῦ· κύνες δὲ
εὐθὺς ἔλαβον τὰ μέλη αὐτοῦ, ἐν οἷς καὶ εἷς μέλας κύων τὴν δεξιὰν 153 W.
αὐτοῦ χεῖρα τῷ στόματι κρατῶν εἰς τόν τόπον τοῦ συμποσίου
εἰσήνεγκεν.
9 ἰδόντες δὲ ἐξεπλάγησαν πάντες, ἐξετάζοντες τίς ὁ ἐξ αὐτῶν
ἀπολειφθείς. ὡς δὲ φανερὸν ἐγένετο ὅτι τοῦ οἰνοχόου ἐστὶν ἡ χεὶρ
τοῦ πατάξαντος τὸν ἀπόστολον, ἡ αὐλήτρια τοὺς αὐλοὺς αὐτῆς
κατεάξασα ἔρριψε, καὶ πρὸς τοὺς πόδας τοῦ ἀποστόλου ἀπελθοῦσα
ἐκαθέσθη λέγουσα ὅτι ,οὗτος ὁ ἄνθρωπος ἢ θεός ἐστιν ἢ ἀπόστολος 198 T.
θεοῦ· ἐγὼ γὰρ ἤκουσα αὐτοῦ ἑβραϊστὶ εἰπόντος τῷ οἰνοχόῳ ὅτι ἤδη
θεάσομαι τὴν χεῖρα τὴν τύψασάν με ὑπὸ κυνῶν συρομένην, ὅπερ καὶ
ὑμεῖς ἐθεάσασθε νῦν· ὡς γὰρ εἶπεν, οὕτως καὶ συνέβη.' καὶ τινὲς 19 Th.
μὲν ἐπίστευον αὐτῇ, τινὲς δὲ οὔ. ὁ δὲ βασιλεὺς ἀκούσας προσελθὼν
εἶπεν αὐτῷ· ,ἀναστὰς ἐλθὲ μετ' ἐμοῦ καὶ εὖξαι ὑπὲρ τῆς θυγατρός

---

4 ὕμνησεν PQ | ἐτέλεσεν PQ ‖ 5 ἔβλ.] ἀπέβλεπον Q ‖ 6 ὑπαὐτοῦ PQ | λεγόμενα Q ‖ 8 τῶ γένει PQ ‖ 9 ἀπεώρα PQ ‖ 10-11 ὁμ. αὐτ. ἀνθ. P ‖ 11 ἰδέα Q ‖ 12 αὐλήσ.] καὶ αὐλήσ. PQ ‖ 13 ἐκαθέσθη ἀφορῶσα PQ | ἀτενίζουσα PQ ‖ 14 ἀφεῶρα Q | προσῆχεν P προσεῖχεν Q | εἰ μὴ] ἢ P | ἔχων PQ ‖ 15 αὐτοῦ] ἑαυτοῦ Q add προσεῖχεν PQ | ἀναλ. ἐκ.] ἐκ τῶν ἐκεῖσε ἐπαναλύσει P | ἀναλύσει Q ‖ 16 ἀπῆλθεν P ‖ 17 ἔτυχεν PQ | ἐξελθὼν om PQ ‖ 18 ἀφῆκεν PQ | μέλη αὐτ.] τούτου μέλη PQ ‖ 20 τὸν — συμπ.] τὸ συμπόσιον ταύτην P ‖ 22 ἰδ . . . πλ . γησαν Q | ἐξ . τάζοντ (?) . . . οτι (?) τίσ ἐστιν ὁ Q ‖ 23 ἀπο . . . θεὶσ Q | ὡς] ὠ P ‖ 25 ἔρριψεν PQ | ἀπελθ. τ. ἀπ. P | ἀπελθοῦσα om Q ‖ 26-27 ἀπ. τοῦ θ. PQ ‖ 27 αὐτοῦ post εἰπ. P om Q ‖ 30 ἀκ.] ἀκ. ταῦτα PQ ‖ 31 αὐτῷ] τῶ ἀποστόλω PQ

μου· μονογενῆ γάρ αὐτὴν ἔχω, καὶ σήμερον αὐτὴν ἐκδίδωμι.‘ ὁ δὲ ἀπόστολος οὐκ ἐβούλετο ἀπελθεῖν σὺν αὐτῷ· οὐδέπω γὰρ ἦν ἐκεῖ αὐτῷ ὁ κύριος ἀποκαλυφθείς· ὁ δὲ βασιλεὺς ἄκοντα αὐτὸν ἀπήγαγεν εἰς τὸν νυμφῶνα, ὅπως εὔξεται ὑπὲρ αὐτῶν.

10 στὰς δὲ ὁ ἀπόστολος ἤρξατο εὔχεσθαι καὶ λέγειν οὕτως· ‚ὁ κύριός μου καὶ ὁ θεός μου, ὁ συνοδοιπόρος τῶν αὐτοῦ δούλων, ὁ ὁδηγῶν καὶ εὐθύνων τοὺς εἰς αὐτὸν πιστεύοντας, ἡ καταφυγὴ καὶ ἡ ἀνάπαυσις τῶν τεθλιμμένων, ἡ ἐλπὶς τῶν πενήτων καὶ λυτρωτὴς τῶν αἰχμαλώτων, ὁ ἰατρὸς τῶν ἐν νόσῳ κατακειμένων ψυχῶν καὶ σωτὴρ
154 W. πάσης κτίσεως, ὁ τὸν κόσμον ζωοποιῶν καὶ τὰς ψυχὰς ἐνδυναμῶν,
20 Th. σὺ ἐπίστασαι τὰ μέλλοντα, ὃς καὶ δι’ ἡμῶν τελειοῖς ταῦτα· σὺ κύριε ὁ ἀποκαλύπτων μυστήρια ἀπόκρυφα καὶ ἐκφαίνων λόγους ἀπορρήτους ὄντας· σὺ κύριε ὁ φυτουργὸς τοῦ ἀγαθοῦ δένδρου, καὶ διὰ τοῦ δένδρου ἔργα ἀπογεννᾶται· σὺ κύριε ὁ ἐν πᾶσιν ὢν καὶ διερχόμενος διὰ
199 T. πάντων καὶ ἐγκείμενος πᾶσι τοῖς ἔργοις σου καὶ διὰ τῆς πάντων ἐνεργείας φανερούμενος· Ἰησοῦ Χριστὲ ὁ τῆς εὐσπλαγχνίας υἱὸς καὶ τέλειος σωτήρ, Χριστὲ υἱὲ τοῦ θεοῦ τοῦ ζῶντος, ἡ δύναμις ἡ ἀπτόητος ἡ τὸ ἐχθρὸν καταστρέψασα, καὶ ἀκουσθεῖσα ἡ φωνὴ τοῖς ἄρχουσιν, ἡ σαλεύσασα τὰς ἐξουσίας αὐτῶν ἁπάσας, ὁ πρεσβευτὴς ὁ ἀπὸ
155 W. τοῦ ὕψους αὐτοῖς ἀποσταλεὶς καὶ ἕως τοῦ ᾅδου καταντήσας, ὃς καὶ τὰς
21 Th. θύρας ἀνοίξας ἀνήγαγες ἐκεῖθεν τοὺς ἐγκεκλεισμένους πολλοῖς χρόνοις ἐν τῷ τοῦ κόσμου ταμιείῳ καὶ τούτοις τὴν ἄνοδον ὑποδείξας τὴν εἰς τὸ ὕψος ἀνάγουσαν· δέομαί σου, κύριε Ἰησοῦ Χριστέ, ἱκετηρίαν σοι προσφέρω ὑπὲρ τῶν νεωτέρων τούτων, ἵνα τὰ βοηθοῦντα αὐτοῖς καὶ συμβαλλόμενα καὶ συμφέροντα ποιήσῃς.‘ καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας αὐτοῦ καὶ εἰπών· ‚ὁ κύριος ἔσται μεθ’ ὑμῶν,‘ κατέλιπεν αὐτοὺς ἐν τῷ τόπῳ καὶ ἀπῆλθεν.

11 ὁ δὲ βασιλεὺς ἠξίου τοὺς παρανύμφους ἐξέρχεσθαι ἀπὸ τοῦ νυμφῶνος. πάντων δὲ ἐξελθόντων καὶ τῶν θυρῶν κλεισθεισῶν ὁ
22 Th. νυμφίος τὸ καταπέτασμα τοῦ νυμφῶνος ἐπῆρεν, ἵνα τὴν νύμφην πρὸς

1 ἐκδ.] εἰσ γάμον ἐκδ. P ‖ 2 συναπελθεῖν PQ | σὺν αὐτῷ] αὐτῶ Q om P ‖ 2-3 αὐτῶ ἐκεῖ P ‖ 3 ἀπήγαγε P ‖ 4 εὔξηται PQ | περὶ Q ‖ 5 οὕτως] αὐτοῖσ P ‖ 6 τ.. αὐτοῦ Q ‖ 7 τοὺς euan Q ‖ 7-8 ἡ κα . . . ἡ ἀνάπ. Q ‖ 8 ἀνάστασισ P | τεθλιμμ. νων Q ‖ 11 αὐτὰ PQ ‖ 13 σὺ] σὺ εἶ PQ | τοῦ δένδρου] τῶν σῶν χειρῶν, πάντα τὰ ἀγαθὰ PQ ‖ 14 σὺ] σὺ εἶ PQ ‖ 15 ἐνκείμενοσ PQ | πᾶσιν P ‖ 18 τὸν PQ | καὶ ἡ φωνὴ ἡ ἀκουσθεῖσα (ἀκουτισθεῖσα Q) PQ ‖ 19 ὁ post πρ. om PQ ‖ 20 αὐτοῖς om PQ ‖ 22 τοῦ σκότουσ ταμείω PQ | καὶ om PQ ‖ 23 Χριστέ om PQ ‖ 24 προσφέρων PQ | συμβοηθοῦντα P ‖ 25 ποιήσεισ Q ‖ 26 ὁ uoc ὑμῶν in ras P (p?) | κατέλειψεν Q ‖ 30 τὸ — νυμφῶνος om P

ἑαυτὸν ἀγάγῃ. καὶ εἶδε τὸν κύριον Ἰησοῦν τὴν ἀπεικασίαν Ἰούδα Θωμᾶ ἔχοντα καὶ ὁμιλοῦντα τῇ νύμφῃ, τοῦ πρὸ βραχέως εὐλογήσαντος αὐτοὺς καὶ ἐξελθόντος ἀπ' αὐτῶν, καί φησιν αὐτῷ· ‚οὐχὶ πρὸ πάντων ἐξῆλθες; καὶ πῶς εὑρέθης ὧδε;' ὁ δὲ κύριος εἶπεν αὐτῷ· ‚ἐγὼ οὐκ εἰμὶ Ἰούδας ὁ καὶ Θωμᾶς, ἀδελφὸς αὐτοῦ εἰμι.' καὶ ἐκαθέσθη ὁ κύριος ἐπὶ τῆς κλίνης, ἐκέλευσε δὲ καὶ αὐτοῖς καθεσθῆναι ἐπὶ τοῖς δίφροις, καὶ ἤρξατο αὐτοῖς λέγειν·

12 ‚μνημονεύετε, τεκνία μου, ὧν ὁ ἀδελφός μου ἐλάλησεν ὑμῖν 200 T.
καὶ τίνι ὑμᾶς παρέθετο· καὶ τοῦτο γνῶτε, ὅτι ἐὰν ἀπαλλαγῆτε τῆς ῥυπαρᾶς κοινωνίας ταύτης, γίνεσθε ναοὶ ἅγιοι, καθαροί, ἀπαλλαγέντες πλήξεων καὶ ὀδυνῶν φανερῶν τε καὶ ἀφανῶν, καὶ φροντίδας οὐ περιθήσεσθε βίου καὶ τέκνων, ὧν τὸ τέλος ἀπώλεια ὑπάρχει. ἐὰν δὲ 23 Th.
κτήσησθε παῖδας πολλούς, διὰ τούτους γίνεσθε ἅρπαγες καὶ πλεονέ- 156 W
κται, ὀρφανοὺς δέροντες, χήρας πλεονεκτοῦντες, καὶ ταῦτα ποιοῦντες ὑποβάλλετε ἑαυτοὺς εἰς τιμωρίας κακίστας. οἱ γὰρ πολλοὶ παῖδες ἄχρηστοι γίνονται, ὑπὸ δαιμονίων ὀχλούμενοι, οἱ μὲν φανερῶς, οἱ δὲ καὶ ἀφανῶς· γίνονται γὰρ ἢ σεληνιαζόμενοι ἢ ἡμίξηροι ἢ πηροὶ ἢ κωφοὶ ἢ ἄλαλοι ἢ παραλυτικοὶ ἢ μωροί· ἐὰν δὲ καὶ ὦσιν ὑγιαίνοντες, ἔσονται πάλιν ἀποίητοι, ἄχρηστα καὶ βδελυκτὰ ἔργα διαπραττόμενοι· εὑρίσκονται γὰρ ἢ ἐν μοιχείᾳ ἢ ἐν φόνῳ ἢ ἐν κλοπῇ ἢ ἐν πορνείᾳ, καὶ ἐν τούτοις πᾶσιν ὑμεῖς συντριβήσεσθε. ἐὰν δὲ πεισθήσεσθε καὶ τηρήσετε τὰς ψυχὰς ὑμῶν ἁγνὰς τῷ θεῷ, γενή- 24 Th.
σονται ὑμῖν παῖδες ζῶντες, ὧν αἱ βλάβαι αὗται οὐ θιγγάνουσι, καὶ ἔσεσθε ἀμέριμνοι ἄσκυλτον διάγοντες βίον χωρὶς λύπης καὶ μερίμνης, προσδοκῶντες ἀπολήψεσθαι ἐκεῖνον τὸν γάμον τὸν ἄφθορον καὶ ἀληθινόν, καὶ ἔσεσθε ἐν αὐτῷ παράνυμφοι συνεισερχόμενοι εἰς τὸν νυμφῶνα ἐκεῖνον τὸν τῆς ἀθανασίας καὶ φωτὸς πλήρη.'

13 ὡς δὲ ἤκουσαν ταῦτα οἱ νεώτεροι, ἐπίστευσαν τῷ κυρίῳ καὶ ἑαυτοὺς ἐκδότους ἔδωκαν αὐτῷ, καὶ ἀπέσχοντο τῆς ῥυπαρᾶς ἐπιθυ- 201 T.

---

1 αὐτὸν PQ | ἴδεν P εἶδεν Q ‖ 1-2 τὴν — ἔχ.] τῷ θωμᾶ ἐοικότα P ‖ 3 καὶ — αὐτῶν om P | post αὐτῶν add τοῦ ἀποστόλου Q ‖ 4 καὶ πῶς] πῶσ νῦν PQ ‖ 5 ἀδ.] ἀδ. δὲ PQ ‖ 6 ἐκέλευσεν PQ ‖ 7 δ . . ροισ Q ‖ 8 τέκνα Q | ὧν — ὑμῖν] ὧν λελάληκεν ὑμῖν ὁ ἀδελφόσ μου θωμάσ P ‖ 9 prius καὶ om Q ‖ 10 ἅγιοι om Q ‖ 12 τέκ.] τῶν τέκ. PQ ‖ 13 κτήσ.] ἐπικτήσασθαι P καὶ κτήσησθε Q ‖ 14 δαίροντεσ καὶ χ. PQ ‖ 15 τιμωρίαν κάκιστον P ‖ 16 εὔχριστοι P ‖ 19 ἄχρηστοι P ἄχριστοι Q ‖ 21-22 τού . . . πασιν υμεισ συν . . . αι ἐὰν (?) . . . θῆτε (?) τη (?) . . . νὰσ τῷ θεῷ Q ‖ 22 πεισθῆτε P | τηρήσηται P ‖ 23 ὑμεῖσ Q | αἳ — θιγγ.] αἱ προλεχθῆσαι αὗται βλαβαι, οὐ προτερήσουσιν P αἱ βλ. αὗται αἱ προλεχθεῖσαι οὐ τυγχάνουσιν Q ‖ 24 ἀμέριμνον P ‖ 26 συνεργόμενοι Q ‖ 27 τὸν om Q | πλήρησ PQ ‖ 28 τεροὶ uoc νεώτεροι in ras P (p?) ‖ 29 δεδώκασιν P

μίας, καὶ ἔμειναν οὕτως ἐν τῷ τόπῳ διανυκτερεύσαντες. ὁ δὲ κύριος ἐξῆλθεν ἀπ' ἔμπροσθεν αὐτῶν λέξας οὕτως αὐτοῖς· ,ἡ χάρις τοῦ κυρίου ἔσται μεθ' ὑμῶν.' ὄρθρου δὲ ἐπιστάντος ἀπήντησεν ὁ βασιλεύς, καὶ πληρώσας τὴν τράπεζαν εἰσήγαγεν ἔμπροσθεν τοῦ νυμφίου καὶ τῆς νύμφης· εὗρεν δὲ αὐτοὺς ἀντικρὺ ἀλλήλων καθεζομένους, τῆς δὲ νύμφης τὴν ὄψιν ἀσκέπαστον εὗρεν, καὶ ὁ νυμφίος πάνυ ἱλαρὸς ὑπῆρχεν. ἡ δὲ μήτηρ προσελθοῦσα τῇ νύμφῃ εἶπεν· ,διὰ τί οὕτως καθέζῃ, τέκνον, καὶ οὐκ αἰδῇ, ἀλλ' οὕτως εἶ ὡς πολὺν χρόνον 157 W. συμβιώσασα τῷ ἰδίῳ ἀνδρί;' καὶ ὁ πατὴρ αὐτῆς εἶπεν· ,διὰ τὴν πολ- 25 Th. λὴν ἀγάπην τὴν πρὸς τὸν ἄνδρα σου οὐδὲ σκεπάζει;'

14 ἀποκριθεῖσα δὲ ἡ νύμφη εἶπεν· ,ἀληθῶς, πάτερ, ἐν πολλῇ ἀγάπῃ ὑπάρχω, καὶ τῷ κυρίῳ μου εὔχομαι παραμεῖναί μοι τὴν ἀγάπην ἧς ᾐσθόμην ταύτῃ τῇ νυκτί, καὶ αἰτήσομαι τοῦτον τὸν ἄνδρα οὗ ᾐσθόμην σήμερον. διὸ δὴ οὐκέτι σκεπάσομαι, ἐπειδὴ τὸ ἔσοπτρον τῆς αἰσχύνης ἀπ' ἐμοῦ ἀφῄρηται, καὶ οὐκέτι αἰσχύνομαι οὐδὲ αἰδοῦμαι, ἐπειδὴ τὸ ἔργον τῆς αἰσχύνης καὶ τῆς αἰδοῦς ἐξ ἐμοῦ μακρὰν ἀπέστη· καὶ ὅτι οὐκ ἐκπλήσσομαι, ἐπειδὴ ἡ ἔκπληξις ἐμοὶ οὐ παρέμεινεν· καὶ ὅτι ἐν ἱλαρότητι καὶ χαρᾷ ὑπάρχω, ἐπειδὴ ἡ ἡμέρα τῆς χαρᾶς οὐκ ἐταράχθη· καὶ ὅτι ἐξουθένισα τὸν ἄνδρα τοῦτον καὶ τοὺς γάμους τούτους τοὺς παρερχομένους ἀπ' ἔμπροσθεν τῶν 202 T. 26 Th. ὀφθαλμῶν μου, ἐπειδὴ ἕτερον γάμον ἡρμόσθην· καὶ ὅτι οὐ συνεμίγην ἀνδρὶ προσκαίρῳ, οὗ τὸ τέλος μετὰ λαγνείας καὶ πικρίας ψυχῆς ὑπάρχει, ἐπειδὴ ἀνδρὶ ἀληθινῷ συνεζεύχθην.'

15 καὶ ἔτι πλείονα λεγούσης τῆς νύμφης ἀποκρίνεται ὁ νυμφίος καὶ λέγει· ,εὐχαριστῶ σοι, κύριε, ὁ διὰ τοῦ ξένου ἀνδρὸς κηρυχθεὶς καὶ ἐν ἡμῖν εὑρεθείς, ὁ μακράν με τῆς φθορᾶς ποιήσας καὶ σπείρας

---

1 τόπῳ] παστῶ P | διανυκτερεύοντες Q ‖ 2 ἐξῆλθεν] ἄφαντος ἐγένετο P | ἔμπροσθεν om P | εἰπὼν αὐτοῖς οὕτως P | οὕτως om Q ‖ 3 ὄρθρου δὲ ἐπιβάντος (sic) bis posita, priore loco del P ‖ 3-4 ἀπήντησεν et καὶ et τὴν om P | πληρ. τράπ. ὁ βασ. P ‖ 5 ἄντικρυς PQ ‖ 6-7 τὸν νυμφίον πάνυ ὑπάρχοντα ἱλαρόν P ‖ 7 ὑπῆρχε Q ‖ 7-9 νύμ . . . νον και ουκ . . . τ. ὡς πολυν χρον . ν συ . βιώσασα Q ‖ 7 εἶπεν τ. ν. P ‖ 9 συμβ. τῷ] μετὰ τοῦ νυμφίου συμβιωσάσης, τῷ ἄρτι σοι δοθέντι P | καὶ euan Q | πατὴρ et τὴν partim abscisa P ‖ 10 ἀγ. — σκεπ.] πρὸς τὸν ἄνδρα αὐτῆς ἀγάπην οὐ σκεπάζεται P ‖ 11 εἶπεν ἡ ν. P | ἐν] ὡς εἶπας ἐν P ‖ 12 ὑπ. ἀγ. P ‖ 13 ἧς νῦν ᾐσθ. τῇ ν. ταύτῃ P | αἰτήσομαι] κτήσομαι PQ ‖ 14 οὗ νῦν ὡς εἶπον ᾐσθόμην P | σήμερον om P ‖ 16 οὐδὲ] ἢ PQ ‖ 17 ἐκπλήσσ. — ἡ om P ‖ 17-18 ἐμοὶ — ἐν] οὐδ' ἔτι τῶν τοιούτων ἐν ἐμοὶ πάρεστιν, ἀλλ' ἐν P ‖ 18 ἱλαρότητι P ἱλαρία Q ‖ 19 ἐξουθένησα PQ ‖ 20 ἀπὸ PQ ‖ 21 ἑτέρῳ γάμῳ PQ | ὅτι om P ‖ 21-22 οὐκ ἐνεμίγην ἀνδρὶ ἑτέρῳ καὶ προσκ. P ‖ 22 λαγνίας PQ ‖ 24 ἔτι euan Q | πλείω P τούτων add PQ ‖ 25 ὁ] ὅτι P | κηρυχθεὶς] τὴν ὁδὸν ὑπέδειξας ἡμῖν τῆς σωτηρίας P ‖ 26 φθ.] φθ. ταύτης P

ἐν ἐμοὶ τὴν ζωήν, ὁ τῆς νόσου με ἀπαλλάξας ταύτης τῆς δυσιάτου
καὶ δυσθεραπεύτου καὶ παραμενούσης εἰς τὸν αἰῶνα καὶ ὑγείαν 158 W.
σώφρονα ἐγκαταθέμενός μοι, ὁ σαυτόν μοι ὑποδείξας καὶ πάντα τὰ
κατ' ἐμέ, ἐν οἷς εἰμί, ἀποκαλύψας μοι, ὁ λυτρωσάμενός με ἀπὸ τῆς
πτώσεως καὶ εἰς τὸ κρεῖττον παραγαγών, καὶ τῶν μὲν προσκαίρων
ἀπαλλάξας, καταξιώσας δέ με τῶν ἀθανάτων καὶ ἀεὶ ὄντων, ὁ σεαυ-
τὸν κατευτελίσας ἕως ἐμοῦ καὶ τῆς ἐμῆς σμικρότητος, ἵνα ἐμὲ τῇ 27 Th.
μεγαλοσύνῃ παραστήσας ἑνώσῃς σεαυτῷ, ὁ τὰ ἴδια σπλάγχνα μὴ
ἐπισχὼν ἐξ ἐμοῦ τοῦ ἀπολλυμένου, ἀλλὰ ὑποδείξας μοι ζητῆσαι
ἐμαυτὸν καὶ γνῶναι τίς ἤμην, καὶ τίς καὶ πῶς ὑπάρχω νῦν, ἵνα
πάλιν γένωμαι ὡς ἤμην· ὃν ἐγὼ μὲν οὐκ ᾔδειν, αὐτὸς δὲ ἐπεζήτη-
σας· ὃν οὐκ ἠπιστάμην, αὐτὸς δὲ προσελάβου· οὗ ᾐσθόμην καὶ νῦν
οὐ δύναμαι ἀμνημονεῖν· οὗ ἡ ἀγάπη ἐν ἐμοὶ βράσσει, καὶ εἰπεῖν μὲν
ὡς δεῖ οὐ δύναμαι, ἃ δὲ χωρῶ λέγειν περὶ αὐτοῦ, βραχέα καὶ πάνυ
ὀλίγα, καὶ ἀνάλογα οὐ τυγχάνει πρὸς τὴν ἐκείνου δόξαν· οὐκ αἰτιᾶται 203 T.
δέ με ἀναιδευόμενον πρὸς αὐτὸν λέγειν καὶ ἃ μὴ οἶδα· διὰ γὰρ τὴν
αὐτοῦ ἀγάπην καὶ ταῦτα λέγω.'

16 ἀκούσας δὲ ὁ βασιλεὺς παρὰ τοῦ νυμφίου καὶ τῆς νύμφης
ταῦτα, τὴν ἐσθῆτα αὐτοῦ διέρρηξε καὶ τοῖς παρεστῶσιν ἐγγὺς αὐτοῦ
ἔλεγεν· ,ἐξέλθετε ταχέως καὶ περιέλθατε ὅλην τὴν πόλιν, καὶ συλλα- 28 Th.
βόντες φέρετέ μοι ἐκεῖνον τὸν ἄνδρα τὸν φαρμακὸν τὸν κακῶς παρα-
τυχόντα ἐν τῇ πόλει ταύτῃ· ἐγὼ γὰρ εἰσήγαγον αὐτὸν ἰδίαις χερσὶν
εἰς τὸν οἶκόν μου, καὶ ἐγὼ εἶπον αὐτῷ ἵνα εὔξηται ἐπὶ τῇ ἀτυχε-
στάτῃ μου θυγατρί· ὃς δ' ἂν εὑρὼν αὐτὸν προσαγάγῃ μοι, ἥντιν' ἂν
ἐργασίαν αἰτήσεταί μοι, δίδωμι αὐτῷ.' ἀπελθόντες οὖν περιῆλθον
ζητοῦντες αὐτόν, καὶ οὐχ εὗρον αὐτόν· πλεύσας γὰρ ἦν. ἀπῆλθον
οὖν καὶ εἰς τὸ ξενοδοχεῖον ὅπου ἦν καταλύσας, καὶ εὗρον ἐκεῖ τὴν
αὐλήτριαν κλαίουσαν καὶ ἀνιωμένην, ἐπειδὴ οὐ παρέλαβεν αὐτὴν μεθ'
ἑαυτοῦ. ἐξηγησαμένων δὲ αὐτῶν τὸ πρᾶγμα τὸ γεγονὸς ἐπὶ τῶν

---

1 ἀνιάτου P ‖ 2 ὑγίαν PQ ‖ 3 ἐνκαταθέμενός P ‖ 5 κρ.] κρ. με PQ ‖ 6-7 ἑαυτὸν κατευτελήσας PQ ‖ 7 ἐμοῦ — ἵνα om P ‖ 8 ἑνώσεις P ‖ 9 ἀλλ' ἐπιδείξας P ‖ 11 ὡς] ὃ PQ ‖ 12 οὐκ ἠπ.] μὴ ἐπιστάμην PQ | δὲ] δέ με PQ ‖ 13 ἀμνημονεύειν Q | οὗ] τούτου οὗ PQ | βράζῃ Q ‖ 14 βραχία Q ‖ 16 ἀναδευόμενον P ‖ 17 ταῦτα καὶ Q ‖ 19 διέρρηξεν Q | παρεστ.] παρεστ. αὐτῷ PQ | ἐγγὺς αὐτοῦ om P ‖ 20 εἶπεν ἐξέλθατε P | καὶ prius om Q ‖ 23 καγὼ Q ‖ 24 ἀγάγῃ πρός με P ‖ 24-25 ἥντ. — ἐργ.] εἴτι ἂν P πᾶν εἴτι ἂν Q | αἰτήσηταί PQ ‖ 25 δίδ. αὐτ.] παρέξωμαι τούτῳ P ‖ 26 ζητ. αὐτ.] τὴν πόλιν ἅπασαν, ζητοῦντες τὸν ἀπόστολον P | alt αὐτόν om P | ἀποπλεύσας P ‖ 26-27 ἀπ. οὖν καὶ] ἐλθόντες δὲ P ‖ 27 οὖν] δὲ Q | ἦν καταλ.] καὶ καταλ. ἦν P ‖ 28-29 οὐ — ἑαυτ.] κατέλιπεν αὐτὴν καὶ οὐκ ἔλαβεν αὐτὴν ·μετ αὐτοῦ P ‖ 28 οὐ] μὴ Q ‖ 29 δὲ om P | αὐτῇ PQ | τὸ γεγ. πρᾶγμα P

νεωτέρων, ἐχάρη πάνυ ἀκούσασα, καὶ ἀποθεμένη τὴν λύπην εἶπεν·
159 W. ,νῦν εὗρον κἀγὼ ὧδε ἀνάπαυσιν.' καὶ ἀναστᾶσα ἀπῆλθε πρὸς αὐτούς,
29 Th. καὶ ἦν σὺν αὐτοῖς χρόνον ἱκανόν, ἕως οὗ κατήχησαν καὶ τὸν βασιλέα.
πολλοὶ δὲ καὶ τῶν ἀδελφῶν συνηθροίζοντο ἐκεῖ, ἕως ὅτε φήμης
ἤκουσαν τοῦ ἀποστόλου, ὅτι ἐν ταῖς πόλεσι τῆς Ἰνδίας κατήχθη
κἀκεῖ διδάσκει. καὶ ἀπελθόντες κατεμίγησαν αὐτῷ.

204 T. (πράξεις τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ὅτε εἰσῆλθεν ἐν τῇ Ἰνδίᾳ καὶ τὸ ἐν οὐρανοῖς παλάτιον ᾠκοδόμησεν)

17 ὅτε δὲ εἰσῆλθεν ὁ ἀπόστολος εἰς τὰς πόλεις τῆς Ἰνδίας μετὰ
Ἀββάνους τοῦ ἐμπόρου, ἀπῆλθεν ὁ Ἀββάνης εἰς ἀσπασμὸν Γουνδα-
30 Th. φόρου τοῦ βασιλέως, καὶ προσανήνεγκεν αὐτῷ περὶ τοῦ τέκτονος ὃν
μετ' αὐτοῦ ἤγαγεν. ἐχάρη δὲ ὁ βασιλεύς, καὶ πρὸς αὐτὸν εἰσελθεῖν
αὐτὸν προσέταξεν. εἰσελθόντος οὖν αὐτοῦ εἶπεν αὐτῷ ὁ βασιλεύς·
,ποίαν τέχνην ἐπίστασαι;' λέγει αὐτῷ ὁ ἀπόστολος· ,τὴν τεκτο-
νικὴν καὶ τὴν οἰκοδομικήν.' λέγει αὐτῷ ὁ βασιλεύς· ,τίνα οὖν οἶδας
ἐν ξύλοις ἐργασίαν, καὶ τίνα ἐν λίθοις;' λέγει ὁ ἀπόστολος· ,ἐν μὲν
ξύλοις ἄροτρα ζυγοὺς τρυτάνας τροχιλέας καὶ πλοῖα καὶ κώπας καὶ
ἱστούς, ἐν δὲ λίθοις στήλας ναοὺς πραιτώρια βασιλικά.' καὶ ὁ βασι-
λεὺς εἶπεν· ,οἰκοδομεῖς μοι παλάτιον;' ὁ δὲ ἀπεκρίθη· ,ναί, οἰκοδομῶ
καὶ τελίσκω· διὰ τοῦτο γὰρ ἦλθον, οἰκοδομῆσαι καὶ τεκτονεῦσαι.'

18 καὶ παραλαβὼν αὐτὸν ὁ βασιλεὺς ἐξῆλθεν ἔξω τῶν πυλῶν τῆς
πόλεως, καὶ ἤρξατο διαλέγεσθαι αὐτῷ ἐν τῇ ὁδῷ περὶ τῆς οἰκοδο-
160 W. μῆς τοῦ πραιτωρίου καὶ περὶ τῶν θεμελίων τὸ πῶς τεθῶσιν, ἕως
ὅτε ἦλθον εἰς τὸν τόπον ἐκεῖνον ἐν ᾧ ἐβούλετο τὴν οἰκοδομὴν
γενέσθαι· καὶ εἶπεν· ,ὧδε βούλομαι τὴν οἰκοδομὴν γενέσθαι.' καὶ ὁ
205 T. ἀπόστολος· ,ναί,' φησίν· ,καὶ γὰρ ὁ τόπος οὗτος ἐπιτήδειός ἐστιν πρὸς
τὴν οἰκοδομήν·' ἦν δὲ ὁ τόπος ἀλσώδης, καὶ ὕδατα πολλὰ ἦν ἐκεῖ.
λέγει οὖν ὁ βασιλεύς· ,ἄρξαι κτίζειν.' ὁ δὲ ἔφη· ,νῦν οὐ δύναμαι
ἄρξασθαι κτίζειν ἐν τῷ καιρῷ τούτῳ.' καὶ ὁ βασιλεύς· ,πότε,' φησί,
31 Th. ,δύνῃ;' ὁ δὲ ἔφη· ,ἄρχομαι ἀπὸ δίου καὶ τελίσκω ἐν τῷ ξανθικῷ.'

1 ἀκ.] τοῦτο ἀκ. P ‖ 2 ἀπῆλθεν PQ ‖ 4 φήμην P ‖ 5 πόλεσιν P ‖ 6 κἀκ.] καὶ ἐκεῖ PQ | 7-8 πρ. — ᾠκοδ. om PQ | 10 ἀββάνη τ. ἐ. PQ | Γουνδ.] τοῦ γουνδ. P | 11 καὶ πρ.] προσανήνεγκε δὲ PQ ‖ 12 ἤγ. μ. α. P | αὐτὸν] αὐτὸν PQ ‖ 15 λέγ. — βασ. om P ‖ 19 ἀπεκρ.] εἶπεν Q ‖ 20 τελειώνω P | γὰρ] γὰρ καὶ Q | τεκτονίσαι P ‖ 22-23 τῆς τ. πραιτ. οἰκ. P ‖ 22 τῆς οἰκοδομῆς om Q ‖ 24 ἦλθεν P ‖ 25 καὶ — γενέσθαι om Q | οἰκ. γεν.] οἰκ. ποιῆσαι P ‖ 25-27 καὶ ὁ ἀπ. — οἰκοδ. om P ‖ 26 οὗτος om Q ‖ 28 ἄρξαι οὖν κτ. PQ ‖ 29-30 πότε — ἔφη] καὶ πότε οὖν ἄρξῃ κτίζειν· καὶ ὁ ἀπόστολος P ‖ 29 πότε οὖν φησὶν Q ‖ 30 δίου] μηνὸς δίου PQ | τελειῶ P | τῷ om PQ

καὶ ὁ βασιλεὺς θαυμάσας εἶπεν· ‚πᾶσα οἰκοδομὴ θέρους οἰκοδομεῖται·
σὺ δὲ αὐτῷ τῷ χειμῶνι δύνασαι οἰκοδομῆσαι καὶ κτίσαι παλάτιον;‘
καὶ ὁ ἀπόστολος εἶπεν· ‚οὕτως ὀφείλει γενέσθαι, καὶ ἄλλως οὐκ ἔχει.‘
καὶ ὁ βασιλεὺς εἶπεν· ‚εἰ τοίνυν τοῦτο ἔδοξέν σοι, διαχάραξόν μοι
πῶς γίνεται τὸ ἔργον, ἐπειδὴ διὰ χρόνου ἔρχομαι ἐνθάδε.‘ καὶ ὁ
ἀπόστολος κάλαμον λαβὼν διεχάρασσεν μετρῶν τὸν τόπον, καὶ τὰς
μὲν θύρας ἔστησεν κατὰ τὴν ἀνατολὴν τοῦ ἡλίου βλέπειν πρὸς τὸ
φῶς, τὰς δὲ θυρίδας κατὰ δύσιν πρὸς τοὺς ἀνέμους, τὸ δὲ ἀρτο- 32 Th.
ποιεῖον πρὸς μεσημβρίαν ἐποίησεν εἶναι, τὸν δὲ ἀγωγὸν τοῦ ὕδατος
τὸν εἰς τὴν ὑπηρεσίαν εἰς τὸ ἀρκτῷον. ὁ δὲ βασιλεὺς ἰδὼν εἶπεν
τῷ ἀποστόλῳ· ‚ἀληθῶς τεχνίτης εἶ, καὶ πρέπει σοι βασιλεῦσιν ἐξυπη-
ρετεῖσθαι.‘ καὶ πολλὰ αὐτῷ καταλείψας ἀπῆλθεν.

19 καὶ κατὰ καιρὸν ἀπέστελλεν ἀργύρια καὶ τὰ ἐπιτήδεια, τά τε
πρὸς τὴν ζωὴν αὐτοῦ τε καὶ τῶν λοιπῶν ἐργατῶν. ὃ δὲ λαμβάνων 206 T.
πάντα οἰκονόμει περιερχόμενος τὰ ἄστη καὶ τὰ πέριξ χωρία, διαδι-
δῶν καὶ εὐσεβείας παρέχων τοῖς πένησι καὶ τεθλιμμένοις, καὶ ἄνεσιν 161 W.
παρεῖχεν αὐτοῖς λέγων· ‚οἶδεν ὁ βασιλεὺς βασιλικῶν τεύξασθαι ἀμοι-
βῶν, πένητας δὲ πρὸς τὸ παρὸν ἀναπαύεσθαι χρή.‘

μετὰ δὲ ταῦτα ὁ βασιλεὺς πρὸς τὸν ἀπόστολον ἀπέστειλεν πρε-
σβευτήν, γράψας αὐτῷ τάδε· ‚σήμανόν μοι τί πεποίηκας, ἢ τίνα σοι
ἀποστείλω, ἢ τίνος χρῄζεις;‘ ἀποστέλλει αὐτῷ ὁ ἀπόστολος λέγων 33 Th.
ὅτι ‚τὸ πραιτώριον ἔκτισται, μόνη δὲ ἡ στέγη περιλείπεται.‘ ὁ δὲ
βασιλεὺς ἀκούσας ἔπεμψεν αὐτῷ πάλιν χρυσίον καὶ ἀργύριον ἄσημον,
γράψας αὐτῷ ὅτι ‚τὸ πραιτώριον, εἴ γε γέγονε, στεγασθήτω.‘ ὁ δὲ
ἀπόστολος πρὸς τὸν κύριον εἶπεν· ‚εὐχαριστῶ σοι, κύριε, κατὰ πάντα,
ὅτι ἀπέθανες πρὸς ὀλίγον ἵνα ἐγὼ ζήσω αἰδίως ἐν σοί, καὶ πέπρακάς
με ἵνα πολλοὺς ἐλευθερώσῃς δι᾽ ἐμοῦ.‘ καὶ οὐκ ἐπαύετο τοῦ διδά-
σκειν καὶ ἀναψύχειν τοὺς τεθλιμμένους, λέγων ὅτι ‚ταῦτα ὁ κύριος
οἰκονόμησεν ὑμῖν, καὶ αὐτὸς παρέχει ἑκάστῳ τὴν τροφήν· αὐτὸς γάρ
ἐστιν ὁ τροφεὺς τῶν ὀρφανῶν καὶ οἰκονόμος τῶν χηρῶν, καὶ πᾶσι
τοῖς τεθλιμμένοις αὐτὸς γίνεται ἄνεσις καὶ ἀνάπαυσις.‘

---

1 καὶ ὁ] ὁ δε PQ | οἰκοδομὴ] οἰκοδομεῖ P ‖ 3-8 in εἶπεν (3) καὶ (3) βασιλευσ (4) τοῦτο (4) ἐπειδὴ (5) ἀνατολὴν (7) ἀνέμουσ (8) litterarum particulae abscisae Q ‖ 6 μέτρω Q ‖ 7 ἔτασσεν PQ ‖ 8 ἀρτοκοπίον Q ‖ 11 ἐξυπηρετεῖν PQ ‖ 12 καταλ.] χρήματα καταλ. P ‖ 13 καὶ κατὰ] ἀπ᾽ αὐτοῦ· κατα δὲ PQ ‖ 14 ὃ δὲ] ταῦτα δὲ P ‖ 15 διαδίδων PQ ‖ 16 πένησιν PQ | ἄνεσιν] τοῖσ δεομένοισ ἄνεσιν PQ ‖ 17 in παρεῖχεν et βασιλεὺσ litterar particc abscisae Q ‖ 20 τί πεποίηκας] περὶ τοῦ παλατίου P ‖ 21 ἢ] καὶ P | ἐποστέλλει (sic) οὖν αὐτῶ Q ‖ 23 πάλιν om Q | ἀργύριον om PQ ‖ 24 γε om PQ | γέγονεν PQ | σκεπασθήτω P ‖ 27 διεμέ P ‖ 28 λέγων τοὺσ τεθλ. P ‖ 29 ἡμῖν PQ | αὐτὸς γ.] αὕτη γ. P ‖ 30 η uoc χηρῶν in ras P

20 ὅτε δὲ παρεγένετο ὁ βασιλεὺς εἰς τὴν πόλιν, ἐξήταζεν τοὺς
207 T. φίλους αὐτοῦ περὶ τοῦ πραιτωρίου οὗ ἔκτιζεν Ἰούδας ὁ καὶ Θωμᾶς·
ἔλεγον δὲ αὐτῷ ὅτι ,οὔτε παλάτιον ἔκτισεν οὔτε ἄλλο τι ἐποίησεν ὧν
ἐπηγγείλατο ποιῆσαι, ἀλλὰ περιέρχεται τὰς πόλεις καὶ τὰς χώρας,
καὶ εἴ τι ἔχει πάντα δίδωσι τοῖς πένησι, καὶ διδάσκει θεὸν νέον ἕνα,
καὶ νοσοῦντας θεραπεύει καὶ δαίμονας ἀπελαύνει καὶ ἄλλα πολλὰ
ποιεῖ παράδοξα· καὶ νομίζομεν ἡμεῖς ὅτι μάγος ἐστίν. ἀλλ' αἱ εὐ-
34 Th. σπλαγχνίαι αὐτοῦ καὶ αἱ ἰάσεις αἱ δωρεὰν ἐξ αὐτοῦ γινόμεναι, ἔτι
δὲ τὸ ἁπλοῦν αὐτοῦ καὶ ἐπιεικὲς καὶ τὸ τῆς πίστεως αὐτοῦ σημαίνει
ὅτι δίκαιός ἐστιν ἢ ἀπόστολος τοῦ θεοῦ τοῦ νέου ὃν αὐτὸς καταγ-
162 W. γέλλει· συνεχῶς γὰρ νηστεύει καὶ εὔχεται, καὶ ἄρτον ἐσθίει μόνον
μετὰ ἅλατος, καὶ τὸ ποτὸν αὐτοῦ ὕδωρ, καὶ φορεῖ ἓν ἱμάτιον εἴτε ἐν
εὐδίᾳ εἴτε ἐν χειμῶνι, καὶ οὐδὲν παρά τινος λαμβάνει, ἀλλὰ καὶ
ἃ ἔχει ἄλλοις δίδωσιν.ʻ ταῦτα ἀκούσας ὁ βασιλεὺς ταῖς χερσὶν αὐτοῦ
τὴν ὄψιν προσέτριψε, τὴν κεφαλὴν αὐτοῦ κινῶν ἐπὶ ὥραν πολλήν.

21 καὶ μετεπέμψατο τὸν ἔμπορον τὸν ἀγαγόντα αὐτὸν καὶ τὸν ἀπό-
στολον, καὶ εἶπεν αὐτῷ· ,ἔκτισάς μοι τὸ παλάτιον;ʻ ὁ δὲ ἔφη· ,ναί,
ἔκτισα.ʻ ὁ δὲ βασιλεὺς εἶπεν· ,πότε οὖν ὑπάγωμεν καὶ βλέπωμεν
αὐτό;ʻ ὁ δὲ ἀποκριθεὶς ἔφη· ,νῦν αὐτὸ ἰδεῖν οὐ δύνασαι, ἀλλ' ὅταν
τοῦ βίου ἐξέλθῃς, βλέπεις αὐτό.ʻ ὁ δὲ βασιλεὺς πάνυ ὀργισθεὶς ἐκέ-
208 T. λευσεν ὑπὸ δεσμὸν γενέσθαι τόν τε ἔμπορον καὶ Ἰούδαν τὸν καὶ
35 Th. Θωμᾶν καὶ εἰς φυλακὴν βληθῆναι, ἕως ἀνακρίνας μάθῃ τίνι ἐδόθη
τὰ τοῦ βασιλέως, ,καὶ οὕτως αὐτὸν ἀπολέσω μετὰ τοῦ ἐμπόρου.ʻ ὁ δὲ
ἀπόστολος χαίρων ἀπίει ἐν τῷ δεσμωτηρίῳ, καὶ ἔλεγεν τῷ ἐμπόρῳ·
,μὴ φοβοῦ μηδέν, ἀλλὰ μόνον πίστευσον τῷ δι' ἐμοῦ κηρυσσομένῳ
θεῷ, καὶ ἀπὸ μὲν τούτου τοῦ κόσμου ἐλευθερωθήσῃ, ἀπὸ δὲ τοῦ
μέλλοντος αἰῶνος ζωὴν κομίσῃ.ʻ

ὁ δὲ βασιλεὺς ἐσκέπτετο ποίῳ θανάτῳ ἀναλώσῃ αὐτούς. ὡς
δὲ ἔδοξεν πυρὶ αὐτοὺς καῦσαι ἐκδεδαρμένους, αὐτῇ τῇ νυκτὶ Γὰδ ὁ
163 W. τοῦ βασιλέως ἀδελφὸς ἐκακοῦτο, καὶ διὰ τὴν λύπην καὶ ἐπίθεσιν ἣν
ὁ βασιλεὺς ἔπαθεν ἐβαρήθη σφόδρα· καὶ μεταπεμψάμενος τὸν βασιλέα

---

1 ἐξήταζε P ‖ 2 οὗ] ᾧ P | ἔκτ.] ἔκτ. αὐτῷ PQ ‖ 3-4 ὧν ἐπ. ποι. om Q ‖ 5 δίδωσιν P | πένησιν Q | ἕνα] ἐν ᾧ PQ ‖ 8 αἱ δωρεὰν] καὶ αἱ δωρεαὶ αἱ PQ ‖ 9 δὲ] δὲ καὶ PQ ‖ 13 ἀλλὰ om PQ ‖ 14 δίδωσι Q | τὰς χεῖρας PQ ‖ 15 ταῖς ὄψεσιν P om Q | προσέτριψεν P ‖ 16 post καὶ prius deficit Q (in imo f 46u) ‖ 18 ὁ — εἶπεν] καὶ λέγει ὁ βασιλεὺς P ‖ 19 ἔφη] αὐτῷ ἔφη P ‖ 20 βίου] βίου τούτου P ‖ 21 ὑποδεσμῶν P | εὔπορον καὶ τὸν ἰ. τ. κ. P ‖ 22 ἀνακρ. μάθῃ] σκέψηται τὰ καταυτῶν καὶ P ‖ 22-23 τὰ τ. βασ. ἐδόθησαν P ‖ 23 ἀπολέσῃ P ‖ 24 ἀπήει εἰς τὴν φυλακὴν P ‖ 25 μὴ φ. μ.] μηδὲν φοβηθείς P ‖ 28 αὐτοὺς ἀναλώσει P ‖ 29 κατακαῦσαι αὐτοὺς P ‖ 31 ἐβαρέθην P

εἶπεν αὐτῷ· ‚ἀδελφὲ βασιλεῦ, τὸν οἶκόν μου καὶ τὰ τέκνα μου παρα-
τίθημί σοι· ἐγὼ γὰρ διὰ τὴν ἐπήρειαν τὴν συμβᾶσάν σοι ἐλυπήθην
καὶ ἀποθνήσκω, καὶ ἐὰν μὴ ἐπέλθῃς τῇ τιμωρίᾳ κατὰ τῆς κεφαλῆς 36 Th.
ἐκείνου τοῦ μάγου, οὐκ ἀναπαύσῃς μου τὴν ψυχὴν εἰς ᾅδου.‘ ὁ δὲ
βασιλεὺς τῷ ἑαυτοῦ ἀδελφῷ εἶπεν· ‚δι' ὅλης νυκτὸς τοῦτο ἐσκεπτόμην,
τὸ πῶς αὐτὸν θανατώσω· τοῦτο δὲ ἔδοξέν μοι, ἐν πυρὶ αὐτὸν κατα-
καῦσαι ἐκδαρέντα, καὶ αὐτὸν καὶ τὸν ἔμπορον μετ' αὐτοῦ τὸν ἀγα-
γόντα αὐτόν.‘

22 καὶ ὡς ὡμίλουν, ἐξῆλθεν ἡ ψυχὴ Γὰδ τοῦ ἀδελφοῦ αὐτοῦ.
ὁ δὲ βασιλεὺς ἐπένθησεν τὸν Γὰδ σφόδρα, πάνυ γὰρ ἠγάπα αὐτόν, 209 T.
καὶ προσέταξεν εἰς βασιλικὴν ἐσθῆτα καὶ πολύτιμον κηδευθῆναι αὐτόν.
τούτων δὲ γενομένων τὴν ψυχὴν Γὰδ τοῦ ἀδελφοῦ τοῦ βασιλέως
ἄγγελοι παραλαβόντες εἰς τὸν οὐρανὸν ἀνήγαγον, ὑποδεικνύοντες αὐτῷ
τοὺς ἐκεῖ τόπους καὶ οἰκήσεις, ἐξετάζοντες αὐτόν· ‚εἰς ποῖον τόπον 37 Th.
βούλει οἰκῆσαι;‘ ὅτε δὲ ἤγγισαν εἰς τὴν οἰκοδομὴν Θωμᾶ τοῦ ἀποστό-
λου, ἣν ἔκτισεν τῷ βασιλεῖ, ἰδὼν αὐτὴν ὁ Γὰδ εἶπεν τοῖς ἀγγέλοις·
‚δέομαι ὑμῶν, κύριοί μου, εἰς ἕνα τῶν κατώγεων οἴκων τούτων
συγχωρήσατέ μοι οἰκῆσαι.‘ οἳ δὲ ἔφησαν αὐτῷ· ‚οὐ δύνασαι οἰκῆσαι
ἐν ταύτῃ τῇ οἰκοδομῇ.‘ ὃ δὲ εἶπεν· ‚διὰ τί;‘ λέγουσιν αὐτῷ· ‚τοῦτο
τὸ παλάτιον ἐκεῖνό ἐστιν ὃ οἰκοδόμησεν ὁ χριστιανὸς ἐκεῖνος τῷ
ἀδελφῷ σου.‘ ὃ δὲ εἶπεν· ‚δέομαι ὑμῶν, κύριοί μου, συγχωρήσατέ μοι
ἀπελθεῖν πρὸς τὸν ἀδελφόν μου, ἵνα ἀγοράσω παρ' αὐτοῦ τὸ παλά- 164 W.
τιον τοῦτο· οὐ γὰρ οἶδεν ὁ ἀδελφός μου ὁποῖόν ἐστι, καὶ πιπράσκει
μοι αὐτό.‘

23 τότε οἱ ἄγγελοι ἀφῆκαν τὴν ψυχὴν τοῦ Γάδ· καὶ ἐν τῷ ἐν-
δύειν αὐτοὺς αὐτὸν τὴν ἐντάφιον στολήν, εἰσῆλθεν αὐτῷ ἡ ψυχὴ
αὐτοῦ. καὶ ἔλεγεν τοῖς περὶ αὐτὸν ἑστῶσιν· ‚καλέσατέ μοι τὸν ἀδελ-
φόν μου, ἵνα αἰτήσομαι παρ' αὐτοῦ μίαν αἴτησιν.‘ εὐθέως οὖν εὐηγ- 38 Th.
γελίσαντο τῷ βασιλεῖ αὐτῶν λέγοντες ὅτι ‚ὁ ἀδελφός σου ἀνέζησεν.‘ 210 T.
ὁ δὲ βασιλεὺς ἐκπηδήσας σὺν πλήθει πολλῷ ἤρχετο πρὸς τὸν ἴδιον
ἀδελφόν, καὶ εἰσελθὼν ἔστη πρὸς τὴν κλίνην αὐτοῦ ὥσπερ ἐκπλη-

1 αὐτῷ om P | μου παρ.] παρ. P ‖ 2-3 ἐπήρ. — ἐλυπ. καὶ] συμβάσαν σοι παρὰ τοῦ ξένου λύπην τὲ καὶ ἐπήρειαν, ἰδοὺ P ‖ 4 ἀναπαύσεισ P ‖ 5 ὅλης] ολησ τῆσ P ‖ 6 μοι ἔδοξεν P ‖ 6-7 ἐν — αὐτὸν] ἐκδαρθέντα τῶ πυρὶ τοῦτον παραδοῦναι ὡσ αὔτωσ δὲ P ‖ 7-8 τὸν καὶ αὐτὸν ἀγαγότα (sic) P ‖ 9 αὐτοῦ] τοῦ βασιλέωσ P ‖ 10 ἐπένθη P ‖ 10 αὐτὸν ἠγάπα P ‖ 12 γινομένων P | Γὰδ] τοῦ γὰδ P ‖ 17 τ. κατωγέων τοῦ οἴκου τούτου P ‖ 18 οὐ δύνα dein f 171[u] οὐ δύνασαι P ‖ 19 ταύτῃ] αὐτῆ P ‖ 20 ὠκοδόμησεν P ‖ 21 με P ‖ 23 ἐστὶν P ‖ 26 αὐτὸν αὐτοὺσ P | ἐπεισῆλθεν P ‖ 27 ἔλεγε P ‖ 28 αἰτήσωμαι P | δέησιν μίαν P ‖ 29 αὐτῶν om P ‖ 30 συμπλήθει P ‖ 30 ἔρχεται P ‖ 31 ἠστήκει P

κτος, μὴ δυνάμενος λαλῆσαι αὐτῷ. εἶπεν δὲ ὁ ἀδελφὸς αὐτοῦ· ‚οἶδα καὶ πέπεισμαι, ἀδελφέ, ὅτι εἴ τις ᾔτησέ σε τὸ ἥμισυ τῆς βασιλείας σου, δέδωκας ἂν ὑπὲρ ἐμοῦ· διὸ ἀξιῶ σε παρασχεῖν μοι χάριτα μίαν, ἣν αἰτοῦμαί σε ἵνα ποιήσῃς μοι.‘ ὁ δὲ βασιλεὺς ἀποκριθεὶς εἶπεν· ‚καὶ τί ἐστιν ὃ αἰτεῖς ποιῆσαί σοι;‘ ὃ δὲ ἔφη· ‚ὅρκῳ με πίστωσον ὅτι μοι παρέχεις.‘ καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεὺς ὅτι ‚ἐν τοῖς ὑπάρχουσίν μοι ὃ ἐὰν αἰτήσῃ δώσω σοι.‘ καὶ λέγει αὐτῷ· ‚τὸ παλάτιον ἐκεῖνο τὸ ἐν τοῖς οὐρανοῖς ὃ ἔχεις πώλησόν μοι.‘ καὶ ὁ βασιλεὺς εἶπεν· ‚ἐμοὶ παλάτιον ἐν τοῖς οὐρανοῖς πόθεν ὑπάρχει;‘ ὃ δὲ ἔφη· ‚ἐκεῖνο ὃ οἰκοδόμησέν σοι ὁ χριστιανὸς ὁ ὢν νῦν ἐν τῷ δεσμωτηρίῳ, ὃν ἤγαγέν σοι ὁ ἔμπορος ἀγοράσας παρὰ Ἰησοῦ τινος.‘ τοῦ
39 Th. δὲ ἀμηχανήσαντος λέγει αὐτῷ πάλιν· ‚τὸν δοῦλον λέγω ἐκεῖνον τὸν Ἑβραῖον, ὃν ἐβούλου κολάσαι ὡς ἐπίθεσίν τινα παρ' αὐτοῦ παθών, ἐφ' ὃν κἀγὼ λυπηθεὶς ἀπέθανον καὶ ἀνέζησα νῦν.‘

24 τότε ὁ βασιλεὺς εἰς ἐπιστασίαν ἐλθὼν συνῆκεν περὶ τῶν διαφερόντων αὐτῷ καὶ μελλόντων αἰωνίων ἀγαθῶν, καὶ εἶπεν· ‚ἐκεῖνο τὸ παλάτιον πωλῆσαί σοι οὐ δύναμαι, εὔχομαι δὲ εἰσελθεῖν εἰς αὐτὸ
211 T. καὶ οἰκῆσαι καὶ καταξιωθῆναι τῶν οἰκητόρων αὐτοῦ· σὺ δὲ ἀληθῶς εἰ βούλει πρίασθαι τοιοῦτον παλάτιον, ἰδοὺ ὁ ἄνθρωπος ζῇ καὶ κτίζει
40 Th. σοι ἐκείνου βέλτιον.‘ καὶ εὐθέως πέμψας ἐξήγαγεν ἐκ τοῦ δεσμωτηρίου τὸν ἀπόστολον καὶ τὸν ἔμπορον τὸν ἐγκλεισθέντα σὺν αὐτῷ,
165 W. λέγων· ‚δέομαί σου, ὡς ἄνθρωπος δεόμενος τοῦ διακόνου τοῦ θεοῦ, ἵνα εὔξῃ ὑπὲρ ἐμοῦ καὶ δεηθῇς ἐκείνου οὗ διάκονος ὑπάρχεις ἵνα μοι ἀφήσῃ καὶ παρίδῃ ἃ εἰς σὲ διεπραξάμην ἢ καὶ ἐνεθυμήθην διαπράξασθαι, καὶ ἄξιόν με γενέσθαι οἰκήτορα ἐκείνης τῆς οἰκήσεως ἧσπερ ἐγὼ μὲν οὐδὲν ἔκαμον, σὺ δέ μοι ἔκτισας μόνος καμών, συνεργούσης σοι τῆς χάριτος τοῦ θεοῦ σου, καὶ ἵνα γένωμαι ὑπηρέτης κἀγὼ καὶ δουλεύσω τῷ θεῷ τούτῳ ᾧ σὺ κηρύττεις.‘ καὶ ὁ ἀδελφὸς δὲ αὐτοῦ προσπεσὼν τῷ ἀποστόλῳ ἔλεγεν· ‚δέομαί σου καὶ

---

2 ᾔτησέν P ‖ 3 δεδώκεισ P | χάριταν P ‖ 4 π. μοι] πωλήσησ μοι, ὃ αἰτοῦμαι παρασοῦ P ‖ 5 αἰτεῖσ με πωλῆσαί σοι P ‖ 5 ὃ δὲ ἔφη om P ‖ 5-6 πεῖσον ὅτι οὐ παρακούσεισ μοι· καὶ ὤμωσεν P ‖ 6-7 ἓν τῶν ὑπαρχόντων μοι εἴτι ἂν αἰτήσησ δίδωμί P ‖ 7 καὶ] τότε P | αὐτῷ om P ‖ 8 τὸ] ὃ P | ὃ om P ‖ 9 ἐμὸν P ‖ 10 ὃ] ὧ P | χρ.] χρ. ἐκεῖνοσ P ‖ 11 ἀγ.] ἀγ. αὐτὸν P | τινοσ ἰησοῦ P ‖ 11-12 τοῦ δὲ — πάλιν om P ‖ 13 ὃν] ὃν καὶ P | κολ. ἐβ. P ‖ 15 ἔκστασιν P | συνῆκε P ‖ 18 ἀληθῶς om P ‖ 19 πριᾶσθαι P ‖ 20 βελτίον P | ἀποστείλασ P ‖ 20-21 ἐκ — ἀπόστ.] αὐτὸν ἐκ τ. δ. P ‖ 21 ἔμπ. — αὐτῷ] συγκλεισθέντα μετ' αὐτοῦ ἔμπορον P ‖ 22-23 ὡς — δεηθ.] διάκονε τοῦ θεοῦ, ὡσ ἄνθρωπον πταίσαντα συγχωρήσησ με· καὶ δεηθεὶσ P ‖ 23 οὗ] οὗ καὶ ὡσ εἶπον P | ὑπάρχ.] οἶδασ τυγχάνειν P ‖ 24 ἢ om P ‖ 26 οὐδὲν ἐγὼ μὲν P ‖ 28 ὃν σὺ κηρύσσεισ P ‖ 28-29 ὁ — αὐτ.] ὁ τοῦ βασιλέωσ ἀδ. P ‖ 29 σου om P

ἱκετεύω ἔμπροσθεν τοῦ θεοῦ σου ἵνα ἄξιος γένωμαι τῆς τούτου διακονίας καὶ ὑπηρεσίας, καὶ κληρωθῶ ἄξιος γενέσθαι τῶν ὀφθέντων μοι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ.‘

25 ὁ δὲ ἀπόστολος χαρᾷ ληφθεὶς εἶπεν· ‚ἐξομολογοῦμαί σοι, κύριε Ἰησοῦ, ὅτι ἀπεκάλυψάς σου τὴν ἀλήθειαν ἐν τοῖς ἀνθρώποις τούτοις· σὺ γὰρ εἶ μόνος θεὸς τῆς ἀληθείας, καὶ οὐκ ἕτερος· καὶ σὺ εἶ ὁ τὰ πάντα εἰδὼς τὰ τοῖς πολλοῖς ἄγνωστα· σὺ εἶ, κύριε, ὁ ἐν πᾶσιν 212 T. εὐσπλαγχνίαν καὶ φειδὼ ποιούμενος τοὺς ἀνθρώπους· οἱ γὰρ ἄνθρωποι διὰ τὴν πλάνην τὴν οὖσαν ἐν αὐτοῖς παρεῖδάν σε, σὺ δὲ οὐ παρεῖδες αὐτούς. καὶ νῦν αἰτουμένου μου καὶ ἱκετεύοντός σε δέξαι τὸν βασιλέα καὶ τὸν τούτου ἀδελφόν, καὶ κατάμιξον αὐτοὺς εἰς τὴν σὴν ποίμνην, καθαρίσας αὐτοὺς τῷ σῷ λουτρῷ καὶ ἀλείψας αὐτοὺς 41 Th. τῷ σῷ ἐλαίῳ ἀπὸ τῆς περιεχούσης αὐτοὺς πλάνης· φύλαξον δὲ αὐτοὺς καὶ ἀπὸ τῶν λύκων, φέρων αὐτοὺς ἐν τοῖς σοῦ λειμῶσι· πότισον δὲ αὐτοὺς ἀπὸ τῆς ἀμβροσιώδους σου πηγῆς τῆς μὴ τεθολωμένης μήτε ληγούσης· δέονται γάρ σου καὶ ἱκετεύουσιν καὶ βούλονται ὑπηρέται καὶ διάκονοί σου γενέσθαι, καὶ ἕνεκεν τούτου εὐδοκοῦσι καὶ διωχθῆναι ὑπὸ τῶν ἐχθρῶν σου καὶ διὰ σὲ ὑπ' αὐτῶν μισηθῆναι καὶ ὑβρισθῆναι καὶ ἀποθανεῖν, ὡς καὶ σὺ ὑπὲρ ἡμῶν ταῦτα πάντα ἔπαθες, ἵνα ἡμᾶς περιποιήσῃς, κύριος ὢν καὶ ἀληθῶς ποιμὴν ἀγαθός. σὺ δὲ δὸς αὐτοῖς ἵνα ἔχωσιν ἐν σοὶ μόνῳ τὴν παρρησίαν καὶ τὴν παρὰ σοῦ βοήθειάν τε καὶ ἐλπίδα τῆς σωτηρίας αὐτῶν, ἧς ἐκδέχονται παρὰ σοῦ μόνου, καὶ ἵνα βεβαιωθῶσιν εἰς τὰ σὰ μυστήρια, καὶ δέξονται τῶν σῶν χαρισμάτων καὶ δομάτων τὰ τέλεια ἀγαθά, καὶ ἀνθήσουσιν ἐν τῇ σῇ διακονίᾳ, καὶ τελεσφορήσουσιν ἐν τῷ πατρί σου.‘

26 πάνυ οὖν διατεθέντες ἐν τῷ ἀποστόλῳ ὅ τε βασιλεὺς Γουνδαφόρος καὶ Γὰδ εἶπον αὐτῷ μηδ' ὅλως ἀναχωροῦντες, καὶ αὐτοὶ ἐπαρκοῦντες τοῖς δεομένοις, πᾶσιν διδόντες καὶ ἀναπαύοντες πάντας· 166 W. ἐδεήθησαν δὲ αὐτοῦ ἵνα καὶ τὴν σφραγῖδα τοῦ λουτροῦ δέξονται 213 T. 42 Th. λοιπόν, καὶ αὐτοὶ λέγοντες αὐτῷ· ‚σχολαζουσῶν τῶν ψυχῶν ἡμῶν

---

1 ἔμπρ. τοῦ σοῦ θεοῦ ἱκετεύω ἵνα P ‖ 4 χαρὰσ μεγάλησ πλησθεὶσ P ‖ 6 μόνος] μόνοσ ὁ P | οὐχ P ‖ 7 τοῖς] καὶ τοῖσ P ‖ 7-8 πάσῃ εὐσπλαγχνίᾳ τοῖσ ἀνθρώποισ φειδοποιούμενοσ P ‖ 9 παρεῖδον P ‖ 13 τῷ σῷ P eras: rescr p | αὐτῶν P | νησ uoc πλάνησ P eras: in ras νησ λύτρωσαι p ‖ 14 σιν uoc λειμῶσιν P rescr p ‖ 16 ληγούσης] ι supra η prius p ‖ 17 εὐδοκοῦσιν P ‖ 19 καὶ ὑβρισθῆναι om P ‖ 20 ἀληθινὸσ P ‖ 21 ἀγαθός] καὶ φιλάνθρωποσ P ‖ 24-25 χ. κ. δομ.] δωρημάτων κ. χ. P ‖ 25 ἀγαθά] καὶ αἰώνια λέγω ἀγαθά σου P ‖ 25-26 καὶ ἐν τῷ σῷ τελεσφορήσουσι πατρί P ‖ 28 Γὰδ] ὁ τούτου ἀδελφὸσ γάδ' P | εἴποντο P ‖ 30 λουτροῦ] λόγου P | δέξωνται P

καὶ προθύμων ἡμῶν ὄντων περὶ τὸν θεόν, δὸς ἡμῖν τὴν σφραγῖδα· ἠκούσαμεν γάρ σου λέγοντος ὅτι ὁ θεὸς ὃν κηρύσσεις διὰ τῆς αὐτοῦ σφραγῖδος ἐπιγινώσκει τὰ ἴδια πρόβατα.‘ ὁ δὲ ἀπόστολος ἔφη αὐτοῖς· ‚καὶ χαίρω καὶ δέομαι ὑμῶν λαβεῖν τὴν σφραγῖδα ταύτην, καὶ κοινωνῆσαί μοι εἰς τὴν εὐχαριστίαν ταύτην καὶ εὐλογίαν τοῦ κυρίου, καὶ τελειωθῆναι ἐν αὐτῇ· οὗτος γάρ ἐστιν κύριος καὶ θεὸς πάντων, Ἰησοῦς Χριστὸς ὃν κηρύσσω, καὶ αὐτὸς πατὴρ ἀληθείας, εἰς ὃν ὑμᾶς πιστεύειν ἐδίδαξα.‘ καὶ ἐκέλευσε προσενεγκεῖν αὐτοὺς ἔλαιον, ἵνα διὰ τοῦ ἐλαίου δέξονται τὴν σφραγῖδα. ἤνεγκαν οὖν τὸ ἔλαιον, καὶ λύχνους ἀνῆψαν πολλούς· νὺξ γὰρ ἦν.

27 καὶ ἀναστὰς ὁ ἀπόστολος ἐσφράγισεν αὐτούς· ἀπεκαλύφθη δὲ αὐτοῖς ὁ κύριος διὰ φωνῆς λέγων· ‚εἰρήνη ὑμῖν, ἀδελφοί.‘ οἱ δὲ φωνῆς μόνον ἤκουσαν αὐτοῦ, τὸ δὲ εἶδος αὐτοῦ οὐκ εἶδον· οὐδέπω γὰρ ἦσαν δεξάμενοι τὸ ἐπισφράγισμα τῆς σφραγῖδος. λαβὼν δὲ ὁ ἀπόστολος ἔλαιον καὶ καταχέας ἐπὶ τῆς κεφαλῆς αὐτῶν καὶ ἀλείψας καὶ χρίσας αὐτοὺς ἤρξατο λέγειν· ‚ἐλθὲ τὸ ἅγιον ὄνομα τοῦ Χριστοῦ τὸ ὑπὲρ πᾶν ὄνομα· ἐλθὲ ἡ δύναμις τοῦ ὑψίστου καὶ ἡ εὐσπλαγχνία ἡ τελεία· ἐλθὲ τὸ χάρισμα τὸ ὕψιστον· ἐλθὲ ἡ μήτηρ ἡ εὔσπλαγχνος·
43 Th. ἐλθὲ ἡ οἰκονομία τοῦ ἄρρενος· ἐλθὲ ἡ τὰ μυστήρια ἀποκαλύπτουσα τὰ ἀπόκρυφα· ἐλθὲ ἡ μήτηρ τῶν ἑπτὰ οἴκων, ἵνα ἡ ἀνάπαυσίς σοι εἰς τὸν ὄγδοον οἶκον γένηται· ἐλθὲ ὁ πρεσβύτερος τῶν πέντε μελῶν,
214 T. νοὸς ἐννοίας φρονήσεως ἐνθυμήσεως λογισμοῦ, κοινώνησον μετὰ τού-
167 W. των τῶν νεωτέρων· ἐλθὲ τὸ ἅγιον πνεῦμα καὶ καθάρισον τοὺς νεφροὺς αὐτῶν καὶ τὴν καρδίαν, καὶ ἐπισφράγισον αὐτοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.‘ καὶ σφραγισθέντων αὐτῶν ὤφθη αὐτοῖς νεανίας λαμπάδα καιομένην κατέχων, ὡς καὶ τοὺς λύχνους αὐτοὺς τῇ τοῦ φωτὸς αὐτῆς προσβολῇ ἀμαυρωθῆναι. καὶ ἐξελθὼν ἀφανὴς αὐτοῖς ἐγένετο. εἶπεν δὲ ὁ ἀπόστολος πρὸς τὸν κύριον· ‚ἀχώρητον ἡμῖν, κύριε, τὸ φῶς σου, καὶ οὐ δυνάμεθα φέρειν αὐτό· μεῖζον γάρ ἐστι τῆς ἡμετέρας ὄψεως.‘ αὔγους δὲ γεναμένου καὶ διαφαύσαντος κλάσας ἄρτον κοινωνοὺς αὐτοὺς κατέστησεν τῆς εὐχαριστίας τοῦ Χριστοῦ. ἔχαιρον δὲ καὶ ἠγαλλιῶντο· πολλοὶ δὲ καὶ

---

1 ἡμῶν om P ‖ 2 τῆς] τῆσ τοιαύτησ P ‖ 4 primum καὶ om P (an eras?) ‖ 5 ταύτην om P ‖ 6 ἐν αὐτῇ] ἑαυτῷ P ‖ 9 δέξ.] λήψονται P ‖ 10 λυχνίασ P | πολλάσ (α ex ου) P ‖ 15 ἔλ.] τὸ ἔλ. P | ἐπὶ] κατὰ P ‖ 17 τοῦ ὑψ.] ἡ ὑψηλή P ‖ 18 τὸ ὕψ. χάρ. P | ab εὔσπλαγχνοσ redit Q (f 42) ‖ 19 οἰκον.] κοινωνία PQ ‖ 20 σου PQ ‖ 25 καὶ ante υἱοῦ om P ‖ 26 καιομ.] ἀνημένην P ἀνημμένην Q ‖ 27 αὐτῆς] αὐτοὺσ Q ‖ 29 σου] σου ἐστὶν PQ ‖ 30 ἐστιν PQ | γενομένου PQ ‖ 31 διαφαύ ̸ αντοσ P σ in ras p | αὐτοὺς om P | κατέστησε P ‖ 32 εὐχαριστείασ Q

ἕτεροι πιστεύοντες προσετίθεντο καὶ ἤρχοντο εἰς τὸ καταφύγιον τοῦ σωτῆρος.

28 ὁ δὲ ἀπόστολος οὐκ ἐπαύετο κηρύσσων καὶ λέγων αὐτοῖς· ‚ἄνδρες καὶ γυναῖκες, παῖδες καὶ κόραι, νεανίσκοι καὶ παρθένοι, ἀκμαῖοι καὶ γηραλέοι, οἵ τε δοῦλοι οἵ τε ἐλεύθεροι, ἀπέχεσθε τῆς πορνείας καὶ τῆς πλεονεξίας καὶ τῆς ἐργασίας τῆς γαστρός· ἐν γὰρ τούτοις τοῖς τρισὶν κεφαλαίοις γίνεται πᾶσα ἀνομία. ἡ γὰρ 44 Th. πορνεία πηροῖ τὸν νοῦν καὶ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς σκοτίζει, καὶ 45 Th. ἐνπόδιον γίνεται τῆς τοῦ σώματος πολιτείας, εἰς ἀσθένειαν μετατιθοῦσα ὅλον τὸν ἄνθρωπον καὶ εἰς νόσον ἐμβάλλουσα ὅλον τὸ σῶμα. ἡ δὲ ἀπληστία εἰς φόβον καὶ αἰσχύνην καθίστησι τὴν ψυχήν, ἐν τοῖς τοῦ σώματος ὑπάρχουσα καὶ διαρπάζουσα τὰ ἀλλότρια . . . . ἡ δὲ ἐργασία τῆς κοιλίας εἰς φροντίδας καὶ μερίμνας καὶ λύπας ἐμβάλλει τὴν ψυχήν . . . . ἐπὰν οὖν ἀπαλλαγῆτε τούτων, γίνεσθε 215 T. 168 W. ἀφρόντιδες καὶ ἄλυποι καὶ ἄφοβοι, καὶ παραμένει ὑμῖν ἐκεῖνο τὸ λεχθὲν ὑπὸ τοῦ σωτῆρος· μὴ μεριμνήσητε εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον μεριμνήσει ἑαυτῆς. μνημονεύσατε κἀκείνου τοῦ λόγου τοῦ προειρημένου· ἐμβλέψατε εἰς τοὺς κόρακας καὶ ἀφίδετε εἰς τὰ 46 Th. πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὔτε σπείρει οὔτε θερίζει οὔτε συνάγει εἰς τὰς ἀποθήκας, καὶ ὁ θεὸς οἰκονομεῖ αὐτά· πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; ἀλλὰ προσδέξασθε τὴν τούτου παρουσίαν, καὶ εἰς αὐτὸν τὰς ἐλπίδας ἔχετε, καὶ πιστεύετε τῷ ὀνόματι αὐτοῦ· αὐτὸς γάρ ἐστιν ὁ κριτὴς ζώντων καὶ νεκρῶν, καὶ αὐτὸς ἀποδίδωσιν ἑνὶ ἑκάστῳ πρὸς τὰς πράξεις αὐτοῦ, καὶ ἐν τῇ ἐλεύσει αὐτοῦ καὶ ἐπιφανείᾳ τῇ ὑστέρᾳ οὐκ ἔχει τις λόγον ἀπολογίας, μέλλων παρ᾽ αὐτοῦ κρίνεσθαι, ὡς μὴ ἀκούσας. οἱ γὰρ κήρυκες αὐτοῦ εἰς τὰ τέσσαρα κλίματα τῆς οἰκουμένης κηρύσσουσιν. μετάγνωτε οὖν καὶ πιστεύσατε τῇ ἐπαγγελίᾳ, καὶ δέξασθε ζυγὸν πραότητος καὶ φορτίον ἐλαφρόν, ἵνα ζήσητε καὶ μὴ ἀποθανεῖτε. ταῦτα κτήσασθε, ταῦτα φυλάξατε· ἐξέλθατε ἀπὸ τοῦ

---

5 γηράλαιοι P γηραλαίοι Q | οἵ τε utrumque] εἴτε PQ ‖ 7 τρισὶ Q ‖ 9 ἐμπόδιον PQ | μετατιθεῖσα PQ ‖ 11 ἡ] ὁ Q | ἀπληστεία Q ‖ 12 ἐν τοῖς] ἐντὸς PQ ‖ 12-13 ἀλλότρια καὶ ταύτην τὴν ὑποψίαν ἔχουσα· ἢ (ἡ Q) ἀποδιδοῦσα τὰ ἀλλότρια τοῖς δεσπόταις ἠσχύνθη· ἡ δὲ PQ ‖ 14 ψυχὴν τοῦτο μεριμνῶσα· μὴ ἄρα ἐνδεὴς αὐτῶν γένηται· καὶ τῶν πόρρωθεν τούτων ὄντων θεαθῇ (θεαθεῖ Q)· ἐπὰν PQ ‖ 14-15 οὖν — ἄφοβοι] δὲ τούτων ἀπαλλαγὴ, γίνεται ἀφρόντις καὶ ἄλυπος ὁ ἄνθρωπος· καὶ ἄφοβος P ‖ 15 ὑμῖν om P ‖ 17 μερ. ἑ.] τὰ ἑαυτῆς μεριμνήση P | μεριμνήση Q ‖ 18 ἴδετε P ἀφ᾽ ἴδετε Q ‖ 22 αὐτὸς] οὗτος PQ | ὁ om PQ ‖ 23 ἀποδιδωσ Q | ἑνὶ om P | πρὸς] κατὰ Q ‖ 25 τις] οὐδεὶς PQ | ἀπολογι uoc ἀπολογίας in ras P | αὐτῶ PQ ‖ 27 μεταγνῶτε P ‖ 28 πραΰτητος Q ‖ 29 ἀποθάνητε PQ | ταῦτα κτήσασθε om Q | ἐξέλθετε P

σκότους, ἵνα τὸ φῶς ὑμᾶς προσδέξεται· ἔλθετε πρὸς τὸν ὄντως ἀγα-
θόν, ἵνα παρ᾽ αὐτοῦ τὴν χάριν δέξησθε, καὶ τὸ αὐτοῦ σημεῖον ἐγκα-
ταθήσεσθε ταῖς ὑμετέραις ψυχαῖς.‘

29 ταῦτα εἰπόντος αὐτοῦ τινὲς τῶν παρεστώτων εἶπον αὐτῷ· ‚καιρός
ἐστιν τοῦτον χρεώστην ἀπολαβεῖν τὸ χρέος.‘ ὁ δὲ εἶπεν αὐτοῖς· ‚ὁ
μὲν κύριος τοῦ χρέους ἀεὶ τὸ περισσὸν ἀπολαβεῖν βούλεται, ἡμεῖς
δὲ τὸ δέον αὐτῷ δῶμεν.‘ καὶ εὐλογήσας αὐτοὺς ἔλαβεν ἄρτον καὶ
216 T. ἔλαιον καὶ λάχανον καὶ ἅλας, καὶ ἔδωκεν αὐτοῖς φαγεῖν· αὐτὸς δὲ
παρέμεινεν τῇ ἑαυτοῦ νηστείᾳ, ἔμελλεν γὰρ ἡ κυριακὴ ἐπιφαίνειν.
47 Th. 169 W. τῆς δὲ νυκτὸς ἐπιούσης καὶ καθεύδοντος αὐτοῦ ἐλθὼν ὁ κύριος ἔστη
πρὸς τῇ κεφαλῇ αὐτοῦ λέγων· ‚Θωμᾶ, ἀναστὰς ὄρθρου εὐλογήσας
πάντας, μετὰ τὴν εὐχὴν καὶ διακονίαν ἄπελθε κατὰ τὴν ἀνατολικὴν
ὁδὸν μίλια δύο, καὶ ἐκεῖ δείξω ἐν σοὶ τὴν ἐμὴν δόξαν· δι᾽ ὃ γὰρ
ἀπέρχει, πολλοὶ πρόσφυγές μοι γενήσονται, καὶ ἐλέγξεις τὴν φύσιν καὶ
τὴν δύναμιν τοῦ ἐχθροῦ.‘ ἀναστὰς δὲ ἀπὸ τοῦ ὕπνου ἔλεγεν τοῖς
ἀδελφοῖς τοῖς οὖσιν μετ᾽ αὐτοῦ· ‚τέκνα καὶ ἀδελφοί, ὁ κύριος βούλε-
ταί τί ποτε σήμερον δι᾽ ἐμοῦ διαπράξασθαι· ἀλλ᾽ εὐξόμεθα καὶ δεηθῶ-
μεν αὐτοῦ ἵνα μηδὲν ἐνπόδιον γένηται ἡμῖν πρὸς αὐτόν, ἀλλὰ ὡς
πάντοτε καὶ νῦν κατὰ τὸ αὐτοῦ βούλημα καὶ θέλημα γένηται δι᾽
48 Th. ἡμῶν.‘ καὶ ταῦτα εἰπόντος αὐτοῦ ἐπέθηκεν αὐτοῖς τὰς χεῖρας αὐτοῦ
καὶ εὐλόγησεν αὐτούς. καὶ κλάσας ἄρτον τῆς εὐχαριστίας μετέδω-
κεν αὐτοῖς εἰπών· ‚ἔσται ὑμῖν αὕτη ἡ εὐχαριστία εἰς εὐσπλαγχνίαν
καὶ ἔλεος καὶ ἀμοιβήν, καὶ μὴ εἰς κρίμα.‘ καὶ αὐτοὶ εἶπον· ‚ἀμήν.‘

(περὶ τοῦ δράκοντος καὶ τοῦ νεανίσκου)

30 καὶ ἐξῆλθεν ὁ ἀπόστολος τοῦ ἀπελθεῖν ὅπου αὐτὸν ὁ κύριος προσέταξε. καὶ ἐγγὺς γενόμενος τοῦ δευτέρου μιλίου καὶ ὀλίγον ἐκκλίνας τῆς ὁδοῦ εἶδε πτῶμα νέου εὐμόρφου κείμενον, καὶ εἶπεν· ‚κύριε, μὴ διὰ τοῦτο ἐξήγαγές με ἐλθεῖν ἐνθάδε, ἵνα ἴδω τὸν πει-

1 πρὸσδέξηται PQ ‖ 2 ἐνκαταθήσησθε Q ‖ 4 παρόντων P ‖ 5 τοῦτον] τοῦ τὸν PQ ‖ 8 λάχανα Q | ἔδωκεν] εὐλογήσασ ἔδωκεν PQ | φαγεῖν om PQ ‖ 9 παρέμενεν PQ ‖ 9 ἐπιφέειν PQ ‖ 11 εὐλ.] καὶ εὐλ. PQ ‖ 13-14 δι᾽ — ἀπέρχει] καὶ γὰρ ἐκεῖ P ‖ 14 ἀπέρχη Q | μοι om Q | ἐλέγξησ P ‖ 16 σὺν αὐτῷ PQ ‖ 16-17 τί ποτε βούλεται PQ ‖ 17 εὐξώμεθα Q | post δεηθῶμεν deficit Q ‖ 18 αὐτῷ P | ἐνπ. γέν.] τούτου ἕνεκεν, ἐμπόδιον γενήσεται P | ἀλλ᾽ P ‖ 21 ἔδωκεν P ‖ 23 καὶ μὴ εἰσ κρίσιν καὶ ἀμοιβήν P | εἴπασιν τὸ ἀμήν P ‖ 24 καὶ τ. νεαν.] πράξισ γ′ P ‖ 25 τοῦ ἀπελθεῖν om P ‖ 25-26 προσέταξεν ἀπιέναι ὁ κύριοσ P ‖ 26 γεν. — μιλ.] τοῦ τόπου τ. δευτ. μιλ. γεν. P ‖ 26-27 τῆσ ὁδ. ὀλ. ἐκκλ. εἶδεν P ‖ 27 εὔμορφον P ‖ 28 ἐνθ. ἐλθ. P

ρασμὸν τοῦτον; γενέσθω τοίνυν τὸ θέλημά σου, ὡς βούλει.‘ καὶ ἤρξατο εὔχεσθαι καὶ λέγειν· ‚κύριε, κριτὰ ζώντων καὶ νεκρῶν τῶν κειμένων, καὶ δέσποτα πάντων καὶ πατήρ — πατὴρ δὲ οὐ τῶν ἐν 170 W. σώμασιν οὐσῶν ψυχῶν μόνον ἀλλὰ καὶ τῶν ἐξελθουσῶν· τῶν γὰρ ἐν μιάσμασιν οὐσῶν ψυχῶν δεσπότης εἶ καὶ δικαστής — ἐλθὲ ἐν τῇ ὥρᾳ ταύτῃ ἐν ᾗ ἐπικαλοῦμαι, καὶ δεῖξόν σου τὴν δόξαν εἰς τοῦτον 217 T. τὸν ἐνθάδε κατακείμενον.‘ καὶ στραφεὶς εἶπε πρὸς τοὺς ἀκολουθοῦντας αὐτῷ· ‚τοῦτο τὸ πρᾶγμα οὐκ ἀργῶς ἐγένετο, ἀλλ’ ὁ ἐχθρὸς ἐνήργησε καὶ κατηργάσατο τοῦτο ἵνα ἐν αὐτῷ προσβάλῃ, καὶ ὁρᾶτε ὅτι οὐκ ἐχρήσατο ἄλλο εἶδος, οὐδὲ ἐνήργησε δι’ ἄλλου ζῴου ἀλλὰ διὰ 49 Th. τοῦ ὑπηκόου αὐτοῦ.‘

31 καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου ἰδοὺ δράκων μέγας τοῦ φωλεοῦ ἐξελθών, τὴν κεφαλὴν αὐτοῦ κατακρούων καὶ τὴν οὐρὰν κατατινάσσων ἐπὶ τὴν γῆν, καὶ φωνῇ μεγάλῃ χρώμενος πρὸς τὸν ἀπόστολον εἶπεν· ‚ἐρῶ ἔμπροσθέν σου διὰ ποίαν αἰτίαν ἐθανάτωσα αὐτόν, ἐπειδὴ εἰς τοῦτο παρεγένου, ἐλέγξαι τὰ ἔργα μου.‘ καὶ φησὶν ὁ ἀπόστολος· ‚ναί, εἰπέ.‘ καὶ ὁ δράκων· ‚γυνή τίς ἐστιν ἐν τῷ χωρίῳ τούτῳ ὡραία σφόδρα· καὶ διερχομένης αὐτῆς ποτε ἰδὼν αὐτὴν ἠράσθην αὐτῆς, καὶ ἀκολουθήσας αὐτὴν ἐπετήρουν· καὶ εὗρον τὸν νεανίαν τοῦτον καταφιλοῦντα αὐτήν, ὃς καὶ ἐκοινώνησεν αὐτῇ καὶ ἄλλα αἰσχρὰ διεπράξατο μετ’ αὐτῆς· κἀμοὶ μὲν εὔκολον ἦν ἐπὶ σοῦ ἐκφάναι αὐτά, οἶδα γάρ σε τὸν δίδυμον ὄντα τοῦ Χριστοῦ τὸν τὴν 50 Th. φύσιν ἡμῶν ἀεὶ καταργοῦντα· ταράξαι δὲ ταύτην μὴ βουληθεὶς 171 W. αὐτῇ τῇ ὥρᾳ οὐκ ἐθανάτωσα αὐτόν, ἀλλ’ ἐπιτηρήσας αὐτὸν ἑσπέρας διερχόμενον τύψας ἐθανάτωσα αὐτόν, καὶ μάλιστα κατατολμήσαντα αὐτὸν τῇ κυριακῇ ἡμέρᾳ τοῦτο διαπράξασθαι.‘ ὁ δὲ ἀπόστολος

---

1 βούλη P ‖ 2 καὶ λέγειν om P | ζώντων] ζώντων τῶν παρεστώτων P ‖ 4 μόνον et καὶ om P ‖ 4-5 τῶν γὰρ — οὐσῶν om P ‖ 6 ἐν ᾗ ἐπικ. om P | δεῖξόν] δόξασόν P ‖ 7 ἐνθάδε om P | κείμενον P ‖ 7-8 εἶπε — αὐτ.] πρὸσ τὸν λαὸν εἶπεν P ‖ 8 ἐνείργησεν P ‖ 9 ἐν α. προσβ.] ἑαυτὸν πρὸσβάλλη P ‖ 10 ἄλλο — ἐνήργ. om P | ἄλλου] ἑτέρου P | ἀλλὰ] ἀλλ’ ἢ P ‖ 12 τοῦ ἀπ. εἰπ. P | ἰδοὺ om P | τοῦ] ἀπο P ‖ 13 ἐξῆλθεν P ‖ 14 μεγίστη χρησάμενοσ P ‖ 15 ἐρῶ ἔ. σου] ἔμπρ. σου ἐξείπω P ‖ 16 αὐτόν] τοῦτον P | ἐπειδὴ ε. τ.] ε. τ. γὰρ P | μου τὰ ἔργα P | λέγει P ‖ 17 ναί om P | εἰπέ] λέγε, οἵω τοῦτον ἐθανάτωσασ τρόπω P ‖ 17-19 ἐν — ἐπετ. καὶ] ὡραῖα, τούτου ἀντικρὺ τοῦ χωρίου· διερχομένησ δὲ ἐμοῦ ἕνεκεν αὐτῆσ P ‖ 19-20 τοῦτ. τ. νεαν. P ‖ 20-21 ὃς — αὐτῆς] ὡσ δὲ καὶ αὐτῆσ ἐκοινώνησεν καί τινα αἰσχρὰ μεταὐτῆσ διεπράξατο, μὴ φέρων τοῦτο ἐγὼ ἐθανάτωσα τοῦτον P ‖ 21 εὔκολα P ‖ 21-22 αὐτὰ ἐπισοῦ ἐκφάναι P ‖ 22 οἶδα — ὄντα] δίδυμον γὰρ οἶδα εἶναί σε P ‖ 23 ταύτην] τὴν κόρην P ‖ 24-25 αὐτῇ — τύψας] οὐδὲ αὐτῇ τῇ ὥρα, ἐν ᾗ μετὰ τῆσ κόρησ τὴν ἁμαρτίαν δι’ ἐπράττετο, ἐθανάτωσα τοῦτον· ἀλλὰ τῇ ἑσπερα τοῦτον διερχόμενον ἐπιτηρησάμενοσ P ‖ 25 αὐτόν om P | τολμήσαντα P ‖ 26 τῇ — τοῦτο] ἐν ἡμέρα τοῦτο κυριακῆσ (sic) P

ἐξήταζεν αὐτὸν λέγων· ,εἰπέ μοι, ποίας σπορᾶς καὶ ποίου γένους ὑπάρχεις;'

32 καὶ εἶπεν αὐτῷ· ,ἐγὼ τῆς ἑρπυστικῆς φύσεως γέννημα καὶ βλαπτικὸς βλαπτικοῦ υἱός εἰμι ἐκείνου τοῦ βλάψαντος καὶ πλήξαντος τοὺς τέσσαρας ἀδελφοὺς τοὺς ἑστῶτας, υἱός εἰμι ἐκείνου τοῦ ἐπὶ θρόνου ἀπωλείας καθεζομένου τοῦ τὰ ἴδια λαμβάνοντος ἀπὸ τῶν δα- 51 Th. νειζομένων, υἱός εἰμι ἐκείνου τοῦ τὴν σφαῖραν ζωννύοντος ἀποστάτου, συγγενὴς δέ εἰμι ἐκείνου τοῦ ἔξωθεν τοῦ ὠκεανοῦ ὄντος, οὗ ἡ οὐρὰ ἔγκειται τῷ ἰδίῳ στόματι· ἐγώ εἰμι ὁ διὰ τοῦ φραγμοῦ εἰσελθὼν ἐν τῷ παραδείσῳ καὶ μετὰ Εὔας λαλήσας ὅσα ὁ πατήρ μου ἐνετείλατό μοι λαλῆσαι αὐτῇ· ἐγώ εἰμι ὁ ἐξάψας καὶ πυρώσας Κάϊν ἵνα ἀπο- 218 T. κτείνῃ τὸν ἴδιον ἀδελφόν, καὶ δι' ἐμοῦ ἄκανθαι καὶ τρίβολοι ἐφύησαν 52 Th. ἐν τῇ γῇ· ἐγώ εἰμι ὁ τοὺς ἀγγέλους ἄνωθεν κάτω ῥίψας καὶ ἐν ταῖς ἐπιθυμίαις τῶν γυναικῶν αὐτοὺς καταδήσας, ἵνα γηγενεῖς παῖδες ἐξ αὐτῶν γένωνται καὶ τὸ θέλημά μου ἐν αὐτοῖς διαπράξωμαι· ἐγώ εἰμι ὁ τὴν καρδίαν Φαραὼ σκληρύνας ἵνα τὰ τέκνα τοῦ Ἰσραὴλ φονεύσῃ καὶ ἐν ζυγῷ σκληρότητος καταδουλώσηται αὐτούς· ἐγώ εἰμι ὁ τὸ πλῆθος ἐν τῇ ἐρήμῳ πλανήσας, ὅτε τὸν μόσχον ἐποίησαν· ἐγώ εἰμι ὁ τὸν Ἡρώδην πυρώσας καὶ τὸν Καϊάφαν ἐξάψας ἐν τῇ ψευδηγορίᾳ τοῦ ψεύδους ἐπὶ Πιλάτου· τοῦτο γὰρ ἐμοὶ ἔπρεπεν· ἐγώ εἰμι ὁ τὸν 172 W. Ἰούδαν ἐξάψας καὶ ἐξαγοράσας ἵνα τὸν Χριστὸν παραδῷ· ἐγώ εἰμι ὁ τὴν ἄβυσσον τοῦ ταρτάρου οἰκῶν καὶ κατέχων, ὁ δὲ υἱὸς τοῦ θεοῦ ἄκοντά με ἠδίκησε καὶ τοὺς ἰδίους ἐξ ἐμοῦ ἐξελέξατο· συγγενής εἰμι ἐκείνου τοῦ μέλλοντος ἀπὸ τῆς ἀνατολῆς ἔρχεσθαι, ᾧ καὶ ἐξουσία δίδοται ποιῆσαι ὅπερ αὐτὸς βούλεται ἐπὶ τῆς γῆς.'

33 καὶ ταῦτα εἰπόντος τοῦ δράκοντος ἐκείνου, παντὸς τοῦ ὄχλου κατακούοντος, ἐπάρας ὁ ἀπόστολος τὴν φωνὴν αὐτοῦ εἰς ὕψος εἶπεν ,παῦσαι λοιπὸν ἀναιδέστατε, καὶ αἰσχύνθητι νεκρούμενος ὅλως· ἔφθασε 53 Th. γάρ σου τὸ τέλος τῆς ἀπωλείας, καὶ μὴ τόλμα λέγειν ἃ διεπράξω διὰ τῶν σῶν ὑπηκόων. κελεύω δέ σοι ἐν ὀνόματι τοῦ Ἰησοῦ ἐκείνου

---

2 τυγχάνεισ P ‖ 3 καὶ ε. αὐτῷ om P | τῆς — γένν.] ἑρπυστὴσ ἑρπύστου φύσεωσ P ‖ 4 βλαπτικὸς om P | καταβλάψαντοσ P ‖ 5-6 ἐπὶ — καθεζ.] καθεζ. ἐπὶ θρ. εἰσ τὴν ὑπόυρανόν P ‖ 7 ἀποστάτου om P ‖ 11-12 τ. ἴδ. ἀδ. ἀπ. P ‖ 12 ἐμὲ P ‖ 15 γινωνται (ω ex ο?) P ‖ 16 τοῦ Ἰσρ. om P ‖ 17 καταδουλ.] τὸ τῶν ἑβραίων καταδουλώσηται γένοσ P ‖ 17-18 αὐτούς — ἐποίησαν om P ‖ 20 ἐπὶ Πιλάτου om P ‖ 21 καὶ ἐξαγ. om P | παραδῷ] θανάτω παραδώση P ‖ 22 οἰκῶν καὶ om P ‖ 23 ἠδίκησεν P ‖ 25 ὅπερ αὐτὸς] εἰσ ἃ καὶ P ‖ 26 ἐκείνου om P ‖ 27 καταχ.] ταῦτα (τ poster adrasa) ἀκούοντοσ P | τ. φ. ὁ ἀπ. P | αὐτοῦ εἰς ὕψος om P ‖ 28 λοιπ.] τοῦ λοιποῦ P | ὅλοσ· ἔφθασεν P ‖ 30 σῶν] σοὶ P | ὑπηκ.] ὑπηκ. γενομένων P

τοῦ μέχρι νῦν ἀγῶνα πρὸς ὑμᾶς ποιοῦντος διὰ τοὺς ἰδίους ἀνθρώπους, ἵνα τὸν ἰόν σου, ὃν ἔβαλες εἰς τὸν ἄνδρα τοῦτον, ἐκμυζήσῃς καὶ ἀνελκύσας λάβῃς ἐξ αὐτοῦ.‘ ὁ δὲ δράκων εἶπεν· ‚οὔπω ὁ καιρὸς 173 W. ἡμῶν τοῦ τέλους ἔφθασε, καθὼς σὺ ἔφης· τί με ἀναγκάζεις λαβεῖν ὃ εἰς τοῦτον κατέβαλον, καὶ ἀποθανεῖν πρὸ καιροῦ; καὶ γὰρ ὁ ἐμὸς πατὴρ ἐπὰν ἀνιμήσηται καὶ ἐκμυζήσῃ ὃ ἐπέρριψε τῇ κτίσει, τότε τὸ τέλος αὐτοῦ γενήσεται.‘ εἶπε δὲ αὐτῷ ὁ ἀπόστολος· ‚δεῖξον οὖν ἤδη τὴν φύσιν τοῦ πατρός σου.‘ καὶ προσελθὼν ὁ δράκων ἐπέθηκε τὸ στόμα ἐπὶ τὴν πληγὴν τοῦ νεανίσκου καὶ ἐξεμύζησε τὴν χολὴν ἐξ αὐτοῦ. καὶ κατὰ βραχὺ μὲν ἡ χροιὰ τοῦ νεανίσκου, ὥσπερ πορφύρα οὖσα, ἐλευκαίνετο, ὁ δὲ δράκων ἐφυσᾶτο. ὅτε δὲ πᾶσαν τὴν χολὴν εἰς ἑαυτὸν ἀνέσπασεν ὁ δράκων, ὁ νεώτερος ἀναπηδήσας ἔστη, καὶ 219 T. δραμὼν πρὸς τοὺς πόδας τοῦ ἀποστόλου ἔπεσεν. ὁ δὲ δράκων φυσηθεὶς ἐλάκησε καὶ ἀπέθανε, καὶ ἐξεχύθη ὁ ἰὸς αὐτοῦ καὶ ἡ χολή· ἐν δὲ τῷ τόπῳ οὗ ὁ ἰὸς αὐτοῦ ἐξεχύθη χάσμα ἐγένετο μέγα, καὶ κατεπόθη ὁ δράκων ἐκεῖνος. εἶπε δὲ ὁ ἀπόστολος τῷ βασιλεῖ καὶ τῷ ἀδελφῷ αὐτοῦ· ‚λάβετε ἐργάτας καὶ ἀναπληρώσατε τὸν τόπον ἐν ᾧ ὁ δράκων κατεπόθη, καὶ θέτε θεμελίους καὶ οἴκους οἰκοδομήσατε ἐπάνω, ἵνα οἴκησις γένηται τοῖς ξένοις.‘

34 ὁ δὲ νεανίσκος ἔλεγε τῷ ἀποστόλῳ μετὰ πολλῶν δακρύων· 175 W. ‚ἥμαρτον εἰς τὸν ὑπὸ σοῦ κηρυττόμενον θεὸν καὶ εἰς σέ, ἀλλὰ δέο- 54 Th. μαί σου· ἄνθρωπος γὰρ εἶ δύο μορφὰς ἔχων, καὶ ὅπου ἂν θέλῃς, ἐκεῖ εὑρίσκῃ, καὶ ὑπ᾽ οὐδενὸς ἐπέχῃ, ὡς ἐγὼ ὁρῶ. ἐθεασάμην γὰρ τὸν ἄνδρα ἐκεῖνον, ὡς παρέστηκά σοι, ὃς καὶ ἔλεγέ σοι· πολλὰ ἔχω δεῖξαι διὰ σοῦ θαυμάσια, καὶ ἔργα μεγάλα ἔχω διὰ σοῦ τελέσαι, δι᾽ ὧν μισθὸν λήψῃ, καὶ πολλοὺς ποιήσεις ζῆσαι, καὶ ἔσονται ἐν ἀναπαύσει καὶ φωτὶ αἰωνίῳ ὡς τέκνα θεοῦ· σὺ οὖν ζωοποίησον, φησὶ περὶ ἐμοῦ σοι λέγων, τοῦτον τὸν νεανίσκον καταβληθέντα ὑπὸ τοῦ ἐχθροῦ, καὶ ἐν παντὶ καιρῷ ἔφορος αὐτοῦ γενοῦ. καλῶς οὖν

---

1 ἀνθρ.] αὐτοῦ δούλουσ P ‖ 3 λάβῃς] ἀνασηράσησ (leg ἀνασειράσῃς) P ‖ 4 ἔφθασεν τ. τέλ. ἡμ. P | σὺ om P | εἶπασ P ‖ 5 ἀπ. π. κ.] προκαιροῦ με ἀποθ. P ‖ 6 ἐκμυζήσηται P ‖ 6-7 ἐπέρριψεν ταῖσ κτήσεσιν τότε αὐτοῦ γίνεται καὶ τὸ τέλοσ P ‖ 7 εἶπεν P | αὐτῷ om P | ἤδη] ἄρτι P ‖ 8 ἐπέθηκεν P ‖ 9 ἐξ. τ. χολ.] ἐξεμύζησεν τ. χ. καὶ τὸν ἰὸν (ἰὸν in ras) P ‖ 11 ἐλ.] οὕτωσ ἐλ. P ‖ 12 ἀνέστη P ‖ 13 ἔπ. π. τ. π. τ. ἀπ. P ‖ 14 ἐλάκισεν P | ἀπέθανεν P | αὐτοῦ ὁ ἰὸσ P ‖ 15 αὐτοῦ om P ‖ 16 εἶπεν P ‖ 17 βάλετε P ‖ 17-18 ἐν — κατεπ.] ἐκεῖνον P ‖ 20 ἔλεγεν P ‖ 21 ἥμ.] τί ἥμ. P | εἰς — θεὸν καὶ om P ‖ 21-22 ἀλλὰ δ. σου om P ‖ 22 ἂν] δ᾽ ἂν P ‖ 23 εὑρίσκαι P | ἐπέχῃ] ὁρᾶσαι P | ὁρῶ] σε ὁρῶ P ‖ 24 ἔλεγέν P ‖ 25 δια σοῦ ἔχω P ‖ 26 ποι. ζ.] ζωοποιῆσαι ἔχω P ‖ 27 καὶ] ἐν P ‖ 27-29 ζωοπ. — ἐχθ.] δῆλον ὅτι περιεμοῦ ζωοπ. τοῦτ. τ. νεαν. δεινῶσ ὑ. τ. ἐχθ. καταβλαβέντα P

ἧκες ἐνθάδε, καὶ πάλιν καλῶς πρὸς αὐτὸν ἀπελεύσῃ, αὐτοῦ ὅλως μὴ ἀπολειπομένου σου. ἐγὼ δὲ ἐγενόμην ἄνευ φροντίδος καὶ ὀνειδισμοῦ· ἐπέφαυσε γάρ μοι ἀπὸ τῆς φροντίδος τῆς νυκτερινῆς καὶ ἀνεπαύθην, ἀπηλλάγην δὲ καὶ ἀπὸ τοῦ παροξύναντός με ταῦτα πράττειν· ἥμαρτον εἰς ἐκεῖνον τὸν τὰ ἐναντία με διδάξαντα, καὶ ἀπώλεσα ἐκεῖνον τὸν τῆς νυκτὸς συγγενῆ τὸν ἀναγκάζοντά με ἐξαμαρτάνειν ταῖς αὐτοῦ πράξεσιν, εὗρον δὲ ἐκεῖνον τὸν φεγγοειδῆ ὄντα μου συγγενῆ. ἀπώλεσα μὲν ἐκεῖνον τὸν σκοτίζοντα καὶ ἀμαυροῦντα τοὺς ἑαυτοῦ ὑπηκόους, ἵνα μὴ γνῶσιν ἃ διαπράττονται, καὶ ἐν τοῖς ἔργοις αὐτῶν αἰσχυνθέντες ἀπόσχωνται αὐτῶν, καὶ αἱ τούτων πράξεις τέλος σχῶσιν· εὗρον δὲ ἐκεῖνον οὗ τὰ ἔργα φῶς ἐστι καὶ αἱ πράξεις ἀλήθεια, ἃ διαπραττόμενός τις οὐ μεταγινώσκει. ἀπηλλάγην δὲ καὶ 55 Th. ἀπ' ἐκείνου οὗ τὸ ψεῦδος παραμένει, οὗ καὶ τὸ κάλυμμα προηγεῖται σκότος, ὄπισθεν δὲ παρέπεται αἰσχύνη ἀναιδευομένη ἐν ἀπραγίᾳ· 220 T. εὗρον δὲ τὸν καλά μοι φανεροῦντα εἰς τὸ λαβέσθαι με τούτων, τὸν 176 W. τῆς ἀληθείας υἱόν, συγγενῆ ὄντα τῆς ὁμονοίας, ὃς τὴν ὁμίχλην ἀποσοβῶν τὴν ἑαυτοῦ κτίσιν φωτίζει καὶ τὰς πληγὰς θεραπεύων τοὺς ἐχθροὺς αὐτῆς καταστρέφει. ἀλλὰ δέομαί σου, ἄνθρωπε τοῦ θεοῦ, ποίησόν με πάλιν θεάσασθαι καὶ ἰδεῖν αὐτόν, τὸν νῦν ἀπόκρυφόν μοι γενόμενον, ἵνα καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσω, ἧς τὸ θαῦμα ἐξειπεῖν οὐ δύναμαι· οὐκ ἔστι γὰρ τῆς φύσεως τούτου τοῦ ὀργάνου τοῦ σωματικοῦ.'

35 ὁ δὲ ἀπόστολος πρὸς αὐτὸν εἶπεν· ,ἐὰν τούτων τὴν γνῶσιν ὧν ἐδέξω ἀποβάλῃς, ὥσπερ καὶ εἶπας, καὶ γνῷς τίς ὁ ταῦτα διαπραξάμενος ἐν σοί, καὶ μάθῃς καὶ κατήκοος γενήσῃ ἐκείνου, οὗ νῦν διὰ τῆς ζεούσης σου ἀγάπης ἐπιζητεῖς τὴν θέαν, καὶ ὄψῃ αὐτὸν καὶ σὺν αὐτῷ ἔσῃ εἰς τὸν αἰῶνα, καὶ ἐν τῇ ἀναπαύσει αὐτοῦ ἀναπαύσῃ καὶ εἰς τὴν χαρὰν αὐτοῦ ἔσῃ. ἂν δὲ ῥαθυμότερον διατεθῇς πρὸς αὐτὸν

---

1 ἥκεις ἐνταῦθα P | ἀπελ.] ἀπελεύσει καὶ P ‖ 2 ἀπολιμπανομένου P ‖ 3 ἐπ. γάρ] καὶ ἐπέφαυσέν P ‖ 3-4 καὶ ἀνεπ. om P ‖ 4 τ poster uoc ταῦτα euan P ‖ 5 εἰς] μὲν εἰσ P | διδ. με P ‖ 6 ἁμαρτάνειν P ‖ 7-8 φεγγ. — μὲν] φεγγώδη μου συγγ. ὄντα· ἀπολέσαμεν P ‖ 9 αὐτοῦ P | ἃ] εἰσ ἡμᾶσ κακὴν P ‖ 10 ἀ. αὐτῶν] ἀ. ἀπ' αὐτῶν P | αἱ τούτων] διατοῦτο αἱ P ‖ 11 ἔχωσιν P | ἐστιν P ‖ 12 ἀληθιναί P | ἃ] εἰσ ἃσ P ‖ 13 οὗ — οὗ om P ‖ 14 ὄπιθεν P | αἰσχ.] καὶ αἰσχ. P ‖ 15 δὲ] δέ μοι P | με om P | τοῦτον P ‖ 17 τὴν] καὶ τὴν P | φωτίζων P | θερ.] αὐτοῦ θερ. P | 18 τοὺς] τοὺσ δὲ P | καταστρέφων P ‖ 19 καὶ ἰ. αὐτόν] αὐτὸν καὶ ἰδεῖν τοῦτον P ‖ 20 μοι γεν.] μοι γεν. μοι P ‖ 21 ἔστιν P ‖ 23 πρὸς α. εἶπεν] ἀπεκρίθη αὐτῷ λέγων P ‖ 23-24 τὴν — ἀποβ.] ἀπαλλαγῇσ ὧν τὴν γνῶσιν ἐδέξω P ‖ 24 γνῷς τίς] τίσ ἐστίν σοι P ‖ 25 οὗ] ὃν P ‖ 26 τὴν θέαν om P ‖ 27 ἀ. α. ἀναπαήσει P ‖ 28 εἰς — ἂν] ἔσῃ ἐν τῇ χαρᾷ αὐτοῦ. ἐὰν P

καὶ πάλιν ἐπιστραφῇς πρὸς τὰς προτέρας σου πράξεις, καὶ ἐάσῃς τὸ κάλλος καὶ τὸ φαιδρὸν ἐκεῖνο πρόσωπον τὸ νῦν ὑποδειχθέν σοι, καὶ τὸ ἀπαύγασμα τοῦ φωτὸς αὐτοῦ, οὗ νῦν ἐπιθυμεῖς, διαλάθῃ σε, οὐ μόνον τῆς ζωῆς ταύτης στερίσκῃ ἀλλὰ καὶ τῆς μελλούσης, καὶ ἀπελεύσῃ πρὸς ἐκεῖνον ὃν ἔλεγες ἀπολωλεκέναι, καὶ οὐκέτι θεάσῃ 56 Th. ἐκεῖνον ὃν ἔλεγες εὑρηκέναι.‘

36 καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου ἤρχετο εἰς τὴν πόλιν κα- 177 W. τέχων τὴν χεῖρα ἐκείνου τοῦ νέου καὶ λέγων αὐτῷ· ‚ταῦτα ἅπερ ἐθεάσω, τέκνον, ὀλίγα ἐστὶν ἀπὸ τῶν πολλῶν ὧν ὁ θεὸς ἔχει· οὐ γὰρ περὶ τούτων τῶν φαινομένων εὐαγγελίζεται ἡμῖν, ἀλλὰ μείζονα τούτων ἐπαγγέλλεται ἡμῖν· ἐφ᾽ ὅσον δὲ ἐν σώματί ἐσμεν, οὐ δυνάμεθα λέξαι καὶ ἐκφάναι ἃ μέλλει ταῖς ψυχαῖς ἡμῶν διδόναι. ἐὰν εἴπωμεν ὅτι φῶς ἡμῖν παρέχει, τοῦτο ὁρώμενόν ἐστι καὶ ἔχομεν αὐτό· ἐὰν δὲ καὶ πλοῦτον, ἔστι καὶ φαίνεται ἐν τῷ κόσμῳ τούτῳ καὶ ὀνομάζομεν αὐτόν, ἐπειδὴ εἴρηται ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· εἰ δὲ καὶ ἀμπεχόνην ἐσθῆτος εἴπωμεν ἣν οἱ τρυφῶντες ἐν τῷ βίῳ τούτῳ ἀμφιέννυνται, εἴρηται ὅτι οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν· εἰ δὲ καὶ δεῖπνα πολυτελῆ, περὶ τούτων ἐντολὴν εἰλήφαμεν προσέχειν 221 T. ἀπ᾽ αὐτῶν, μὴ βαρηθῆναι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καθὼς καὶ ἐν τῷ εὐαγγελίῳ εἴρηται· μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε ἢ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε, ὅτι ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος· ἐὰν δὲ καὶ ἀνάπαυσιν τὴν πρόσκαιρον ταύτην εἴπωμεν, κρίσις καὶ ταύτης ὥρισται. ἀλλὰ λέγομεν περὶ τοῦ ἄνω κόσμου, περὶ θεοῦ καὶ ἀγγέλων, περὶ τῆς ἀμβροσιώδους τροφῆς, περὶ ἐνδυμάτων παραμενόντων καὶ μὴ παλαιουμένων, περὶ ὧν ὀφθαλμὸς οὐκ 57 Th. εἶδεν οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπων ἁμαρτωλῶν ἀνέβη,

1 ἀποστραφεὶς εἰς P ‖ 2 ἐκείνου P | πρόσωπον om P ‖ 3 διαλ. σε] διαλάθῃς P ‖ 4 ἀποστερήσῃ P ‖ 5 ὃν] οὗ P | ἀπολελωκέναι P ‖ 7 in mg ∼ (quod est signum morae) P | εἰπὼν ὁ ἀπόστολος P ‖ 8 τ. νέ. ἐκ. P ‖ 10 τούτων P | τῶν φαινομένων corr ex τὸν φαινόμενον P | ἀλλ᾽ ἄμεινα P ‖ 12 διδ. ἡμ. P ‖ 13 ὁρ.] τὸ ὁρ. P ‖ 13 ἐστιν P ‖ 14 ἔστιν P ‖ τούτῳ om P ‖ 15 ὀν. — εἴρ.] ὀνομάζω μὲν τοῦτον, οὐ χρήζω δὲ εἰ θελήσω αὐτοῦ· εἴρηται γὰρ P | εἰσελ. πλ. P ‖ 16 ἀπεγχόνην P ‖ 17 εἴρ.] ὀνόμασται καὶ εἴρηται P ‖ 18 ὅτι om P ‖ 20-23 μὴ — ἐνδύμ.] ἵνα μὴ ἐν κραιπάλῃ καὶ μέθῃ βαρυνόμενοι καὶ ταῖς τοῦ βίου συνωθούμενοι μερίμναις, τῆς ἐκεῖ ἐκπέσομεν βασιλείας P ‖ 25 καὶ ταύτ. ὥρ. κρ. P | τὸν P | κόσμον P ‖ 26 post τροφῆς add καὶ τοῦ ποτοῦ τῆς ἀμπέλου τῆς ἀληθινῆς P ‖ 27 παραμ. καὶ] τῶν P | post παλ. add καὶ ἀφθάρτων καὶ ἀφθάρτων (sic) P ‖ 28 οὐδὲ — οὐδὲ] καὶ οὖς οὐκήκουσεν. καὶ P | ἀνέβη] οὐκ ἀνέβη P

ἃ ὁ θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν. πίστευσον οὖν αὐτῷ
καὶ σύ, ἵνα ζήσῃς, καὶ εἰς αὐτὸν ἔχε τὴν πεποίθησιν, καὶ οὐ μὴ
ἀποθάνῃς. οὐδὲ γὰρ δώροις πείθεται ἵνα αὐτῷ προσενέγκῃς, οὐδὲ
178 W. θυσιῶν δέεται ἵνα αὐτῷ θύσῃς. ἀλλ' ἄπιδε πρὸς αὐτόν, καὶ οὐ
παραβλέψεις· ἡ γὰρ τούτου εὐπρέπεια καὶ τὸ κάλλος κατεπιθύμιόν σε
ποιήσει ἵνα αὐτὸν ἀγαπήσῃς· ἀλλ' οὔτε συγχωρεῖ σοι ἀποστραφῆναι
σεαυτόν.'

37 καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου τῷ νέῳ ἐκείνῳ πολὺς
ὄχλος προσετίθετο. ἀπιδὼν δὲ ὁ ἀπόστολος εἶδεν αὐτοὺς ἐπαίρον-
τας ἑαυτοὺς ἵνα αὐτὸν ἴδωσι, καὶ εἰς ὑψηλοὺς τόπους ἀνήρχοντο.
ὁ δὲ ἀπόστολος εἶπε πρὸς αὐτούς· ‚ἄνδρες οἱ ἐλθόντες εἰς τὸ συνέ-
δριον τοῦ Χριστοῦ καὶ θέλοντες εἰς τὸν Ἰησοῦν πιστεῦσαι, ἀπὸ
τούτου τύπον λάβετε, καὶ ἴδετε ὅτι ἐὰν μὴ ὑψωθῆτε, ἐμὲ τὸν
μικρὸν θεάσασθαι οὐ δύνασθε, καὶ ὅμοιον ὄντα με ὑμῶν κατοπτεῦ-
σαι οὐ δύνασθε· εἰ οὖν ἐμὲ τὸν ὑμῖν ὅμοιον ὄντα οὐ δύνασθε ἰδεῖν
ἐὰν μὴ ἐπάρητε αὐτοὺς ὀλίγον ἐκ τῆς γῆς, ἐκεῖνον τὸν ἐν ὕψει
58 Th. διατρίβοντα καὶ νῦν ἐν βάθει εὑρισκόμενον πῶς δύνασθε ἰδεῖν, εἰ μὴ
πρότερον ἐπάρητε ἑαυτοὺς ἐκ τῆς προτέρας πολιτείας ὑμῶν καὶ
τῶν πράξεων τῶν ἀνωφελῶν καὶ τῶν ἐπιθυμιῶν τῶν παρενοχλουσῶν
καὶ τοῦ πλούτου τοῦ ἐνθάδε καταλιμπανομένου καὶ τῆς κτίσεως τῆς
ἐκ τῆς γῆς παλαιουμένης καὶ τῶν ἐνδυμάτων τῶν φθειρομένων καὶ
222 T. τοῦ κάλλους τοῦ γηρῶντος καὶ ἀφανιζομένου, ἔτι δὲ καὶ τοῦ σώμα-
τος ὅλου, ἐν ᾧ ταῦτα πάντα ἀποτεταμίευται, καὶ ὃ παλαιούμενον
κόνις γίνεται, ὑποστρέφον εἰς τὴν ἑαυτοῦ φύσιν· ταῦτα γὰρ πάντα
αὐτὸ τὸ σῶμα ἀνορθοῖ. ἀλλὰ μᾶλλον πιστεύσατε εἰς τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστόν, ὃν κηρύσσομεν ὑμῖν, ἵνα ἡ ἐλπὶς ὑμῶν εἰς
αὐτὸν ἔσται καὶ ἐν αὐτῷ τὴν ζωὴν ἔχητε εἰς αἰῶνας αἰώνων,
ἵνα αὐτὸς συνοδοιπόρος ὑμῖν γένηται ἐν ταύτῃ τῇ χώρᾳ καὶ ἀπαλ-
λάξῃ ὑμᾶς τῆς πλάνης, καὶ λιμὴν ὑμῖν γένηται εἰς ταύτην τὴν

---

1 ἡτοίμ. om P | post αὐτὸν add παρεσκεύασεν· περὶ τούτων διαλεγόμεθα καὶ περὶ τούτων εὐαγγελιζόμεθα P ‖ 4 ἐπιδέεται P | ἔπειδε P ‖ 5 παραβλ.] παραβλέψῃ σε· καὶ πρὸσ αὐτὸν ἐπίστρεψον καὶ οὐ καταλείψει σε P ‖ 5-6 κατεπ. — ποι.] εἰσ ἐπιθυμίαν ἐγερεῖ P ‖ 6 τοῦτον P ‖ 6-7 ἀλλ' — σεαυτόν om P ‖ 9-11 ἀπιδὼν — αὐτούς] καὶ εἰσ ὑψηλοὺσ ἀνήρχοντο τόπουσ, ἵνα τὸν ἀπόστολον βλέπωσιν καὶ ἀκούουσιν (sic)· καὶ εἶπεν αὐτοὺσ (sic) ὁ ἀπόστολοσ P ‖ 13 τούτου] τοῦ λοιποῦ P | λάβ. τόπ. P ‖ 14 ὑμ. ὄντα (om με) P ‖ 15 τὸν] τὸν ὡσ εἶπον P | ὅμοιον ὑμῶν P ‖ 16 ἑαυτοὺσ P ‖ 18 ἑαυτ. ἐπάρ. P ‖ 19 ἀνωφ.] πονηρῶν ἐκείνων P | παρενοχλ.] μὴ παραμενουσῶν P ‖ 20 κτήσεωσ P ‖ 21 τῆς post ἐκ om P ‖ 23 ὃ om P ‖ 24 ὑπ. — φ.] εἰσ τ. ἑ. κτῆσιν ὑποστρέφων P ‖ 24-25 ταῦτα — ἀνορθοῖ om P ‖ 25 τὸν om P ‖ 26 ἡμῶν om P | κηρ.] ἡμεῖσ κηρύττομεν P ‖ 26 ὑμῖν om P ‖ 28 ὑμ. συνοδ. P ‖ 28-29 καὶ ἀ. ὑμᾶς om P ‖ 29 αὐτὴν P

θορυβώδη θάλασσαν. ἔσται δὲ ὑμῖν καὶ πηγὴ βρύουσα ἐν ταύτῃ 179 W. τῇ χώρᾳ τῇ διψαλέᾳ, καὶ σηκὸς πλήρης βρώσεως ἐν τῷ τῶν πεινώντων τόπῳ, καὶ ἀνάπαυσις ταῖς ψυχαῖς ὑμῶν, ἰατρὸς δὲ καὶ τῶν σωμάτων.‘

38 τότε τὸ πλῆθος τῶν συναχθέντων ἀκουόντων ταῦτα ἐδάκρυε καὶ ἔλεγε τῷ ἀποστόλῳ· ‚ἄνθρωπε τοῦ θεοῦ, ὃν σὺ κηρύττεις θεὸν ἡμεῖς οὐ τολμῶμεν λέγειν ὅτι αὐτοῦ ἐσμεν, ὅτι τὰ ἔργα ἡμῶν ἃ διεπραξάμεθα ἀλλότρια αὐτοῦ ἐστι, μὴ ἀρέσκοντα αὐτῷ· εἰ δὲ σπλαγχνίζεται ἐφ᾽ ἡμᾶς καὶ ἐλεεῖ ἡμᾶς καὶ ῥύεται παριδὼν τὰς προτέρας ἡμῶν πράξεις, καὶ ἀπὸ τῶν κακῶν ὧν διεπραξάμεθα ἐν πλάνῃ ὄντες ἐλευθεροῖ ἡμᾶς, καὶ οὐχ ὑπολογίζεται ἡμῖν οὐδὲ ὑπό- 59 Th. μνησιν ποιεῖται τῶν προτέρων ἡμῶν ἁμαρτημάτων, γινόμεθα αὐτοῦ θεράποντες, καὶ τὸ θέλημα αὐτοῦ εἰς τέλος ἄξωμεν.‘ ὁ δὲ ἀπόστολος ἀπεκρίνατο αὐτοῖς λέγων· ‚οὐ καταψηφίζεται ὑμῖν τὰς ἁμαρτίας ἃς ἐν πλάνῃ ὄντες διεπράξασθε, ἀλλὰ παραβλέπει ὑμῶν τὰ παραπτώματα ἃ κατὰ ἄγνοιαν ἦτε πεποιηκότες.‘

(πρᾶξις δ´ περὶ τοῦ πώλου)

τοῦ δὲ ἀποστόλου ἔτι ἑστῶτος ἐν τῇ λεωφόρῳ καὶ διαλεγομένου τῷ πλήθει πῶλος ὀνάδος ἦλθεν καὶ ἔστη ἔμπροσθεν αὐτοῦ καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εἶπεν· ‚ὁ δίδυμος τοῦ Χριστοῦ, ὁ ἀπό- 180 W. στολος τοῦ Χριστοῦ καὶ συμμύστης τοῦ λόγου τοῦ Χριστοῦ τοῦ ἀποκρύφου, ὁ δεχόμενος αὐτοῦ τὰ ἀπόκρυφα λόγια· ὁ συνεργὸς τοῦ υἱοῦ τοῦ θεοῦ, ὃς ἐλεύθερος ὢν γέγονας δοῦλος καὶ πραθεὶς πολλοὺς εἰς ἐλευθερίαν εἰσήγαγες· ὁ συγγενὴς τοῦ μεγάλου γένους τοῦ τὸν ἐχθρὸν καταδικάσαντος καὶ τοὺς ἰδίους λυτρωσαμένου· ὁ προστάτης τῆς ζωῆς ἐν τῇ τῶν Ἰνδῶν γενόμενος χώρᾳ· ἦλθες γὰρ πρὸς τοὺς πλανωμένους ἀνθρώπους, καὶ διὰ τῆς σῆς ἐπιφανείας καὶ τῶν λόγων σου τῶν θεϊκῶν νῦν ἐπιστρέφονται πρὸς τὸν ἀποστείλαντά σε θεὸν τῆς ἀληθείας· ἀνελθὼν ἐπικαθέσθητί μοι καὶ ἀναπέου ἕως ἂν εἰς τὴν πόλιν εἰσέλθῃς‘.

καὶ ἀποκριθεὶς ὁ ἀπόστολος εἶπεν· ‚ὦ Ἰησοῦ Χριστὲ νοερὲ τῆς τελείας εὐσπλαγχνίας· ὦ ἡ ἡσυχία καὶ ἡ ἠρεμία, καὶ ἐν τοῖς ἀλόγοις ζῴοις νῦν λαλούμενε· ὦ ἀπόκρυφος ἀνάπαυσις καὶ διὰ τῆς ἐνεργείας φανερούμενος ἡμῶν σωτὴρ καὶ τροφεῦ, διαφυλάσσων ἡμᾶς

2 διψαλαῖα P ‖ 3-16 ταῖς ψυχαῖς — πεποιηκότες om P ‖ 17 quae sequuntur usque 31, 11 inedita sunt | πράξισ P ‖ 18 λεοφόρῳ P ‖ 20-21 ἀπ. τ. Χ.] ἀπ. τ. ὑψίστου syr ‖ 21-22 Χ. τ. ἀπ.] τοῦ ζωοποιοῦ syr ‖ 29 scr ἀναπνέου (Usener)? ἀναπαύου syr: cf 22, 9 cum actis Io ed Zahn 226, 11 ‖ 31 νοερὲ] υἱὲ νοερὲ syr 34 scr τροφεύς?

καὶ ἀναπαύων ἐν σώμασιν ἀλλοτρίοις· ὁ σωτὴρ τῶν ἡμετέρων ψυχῶν· ἡ βρύσις ἡ γλυκεῖα καὶ ἄφραστος, ἡ πηγὴ ἡ εὐκατάστατος καὶ καθαρὰ καὶ μηδέποτε θολουμένη· ὁ ἐπαμύντωρ καὶ βοηθὸς ἐν ἀγῶνι τῶν ἰδίων δούλων, ὁ τὸν ἐχθρὸν ἀποστρέφων καὶ ἀποσοβῶν ἀφ'
181 W. ἡμῶν, ὁ εἰς πολλοὺς ἀγῶνας ὑπὲρ ἡμῶν ἀγωνιζόμενος καὶ νικᾶν ποιῶν ἡμᾶς ἐν πᾶσι· ὁ ἀληθὴς ἀθλητὴς ἡμῶν καὶ ἀήττητος· ὁ στρατηλάτης ἡμῶν ὁ ἅγιος καὶ νικηφόρος· ὁ τὴν ἔνδοξον χαρὰν παρέχων τοῖς ἰδίοις καὶ μηδέποτε παρερχομένην, καὶ ἄνεσιν τὴν μηδέποτε δόλον ἔχουσαν· ὁ ἀγαθὸς ποιμὴν ὁ ἑαυτὸν ἐκδοὺς ὑπὲρ τῶν ἰδίων προβάτων καὶ τὸν λύκον νικήσας καὶ λυτρωσάμενος τοὺς ἰδίους ἄρνας καὶ εἰς νομὴν ἀγαθὴν ἀγαγών· δοξάζομεν καὶ ὑμνοῦμεν σὲ καὶ τὸν ἀόρατόν σου πατέρα καὶ τὸ ἅγιόν σου πνεῦμα καὶ τὴν μητέρα πάσης τῆς κτίσεως'.

ταῦτα εἰπόντος τοῦ ἀποστόλου τὸ παρὸν πᾶν πλῆθος εἰς αὐτὸν ἀπέβλεπεν προσδοκῶν ἀκοῦσαί τι πρὸς τὸν πῶλον λέγοντος. πολλὴν δὲ ὥραν σταθεὶς ὁ ἀπόστολος ἔκπληκτος ὥσπερ γεγονὼς καὶ εἰς τὸν οὐρανὸν ἀφιδὼν εἶπεν τῷ πώλῳ· ‚τίνος εἶ καὶ τίνος ὑπάρχεις; ἔκπληκτα γάρ εἰσι τὰ διὰ τοῦ στόματός σου λαληθέντα, τὰ καὶ παράδοξα κἀμοί τε καὶ τῷ ὄχλῳ φανέντα, ἃ καὶ ἀπόκρυφα τοῖς πολλοῖς τυγχάνειν εἰώθασι'.

ὁ δὲ πῶλος ἀποκριθεὶς εἶπεν· ‚τῆς γενεᾶς εἰμι ἐκείνης τῆς ἐξυπηρετησαμένης τῷ Βαλαάμ, ἧς καὶ ὁ κύριός σου καὶ διδάσκαλός σου εἰς τὸν καθήκοντά μοι κατὰ γένος ἐκάθισεν. κἀγὼ νῦν ἀπεστάλην σὲ ἀναπαῦσαι καθεσθέντα ἐπάνω μου· καὶ λάβω πίστιν, καὶ προστεθείη μοι ἡ μερὶς ἐκείνη ἣν νῦν μέλλω κτᾶσθαι διὰ τῆς σῆς ὑπηρεσίας'.

εἶπεν δὲ αὐτῷ ὁ ἀπόστολος· ‚δυνατός ἐστιν ἐκεῖνος ὁ τὴν δωρεάν σοι ταύτην χαρισάμενος ἵνα ἕως τέλους πληρωθῇ ἐν σοὶ καὶ τοῖς κατὰ γένος σοι διαφέρουσιν· τούτου γὰρ τοῦ μυστηρίου ἐγὼ ἀσθενὴς καὶ ἄτονος ὑπάρχω'. καὶ οὐκ ἐβούλετο ἐπικαθίσαι αὐτῷ.
182 W. ὁ δὲ πῶλος ἐδέετο καὶ ἱκέτευεν αὐτὸν ἵνα εὐλογηθῇ ὑπ' αὐτοῦ ἐπορκούμενος αὐτῷ.

τότε ἀνελθὼν ὁ ἀπόστολος ἐκαθέσθη, καὶ εἶπεν τοῖς σὺν αὐτῷ οἳ μὲν προάγοντες αὐτὸν οἳ δὲ ἀκολουθοῦντες· ἔτρεχον δὲ πάντες βουλόμενοι ἰδεῖν τὸ πέρας καὶ πῶς τὸν πῶλον ἀπολύει.

---

3 θωλουμένη P ‖ 6 scr πᾶσιν ‖ 9 δόλον] τέλος syr ‖ 12 καὶ post πν. om syr ‖ 16 scr ὥσπερ ἔκπλ.. γεγ. ‖ 17 τίς εἶ syr ‖ 22-23 del σου prius an cum syr καὶ δ. σου? cf tamen 10, 5-6 ‖ 30 ἐπικαθῆσαι P ‖ 31 scr ἐπαρκούμενος (Vsener)? syr ‚uchendo' ‖ 33 εἶπεν τοῖς] scr εἵποντο

ὅτε δὲ ἦλθεν ἐγγὺς τῶν πυλῶν τῆς πόλεως κατῆλθεν ἀπ' αὐτοῦ λέγων· ,ἄπελθε καὶ διαφυλάχθητι ὅπου ἧς'. εὐθέως δὲ ὁ πῶλος πεσὼν εἰς τὸ ἔδαφος παρὰ τοὺς πόδας τοῦ ἀποστόλου ἀπέθανεν.

πάντες δὲ οἱ παρόντες ἠθύμησαν λέγοντες τῷ ἀποστόλῳ· ,ζωοποίησον αὐτὸν καὶ ἀνέγειρον'. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ,ἐγὼ μὲν ἠδυνάμην ἐγεῖραι αὐτὸν τῇ ἐπικλήσει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἀλλὰ πάντως τοῦτο συμφέρει· ὁ γὰρ αὐτῷ δοὺς λόγον ἵνα λαλήσῃ ἠδύνατο αὐτὸν ποιῆσαι μηδὲ ἀποθανεῖν· οὐκ ἐγερῶ δὲ αὐτὸν οὐχ ὡς μὴ δυνάμενος, ἀλλ' ὅτι τοῦτό ἐστιν τὸ συμβαλλόμενον αὐτῷ καὶ συμφέρον'. τοῖς δὲ παροῦσιν παρεκελεύσατο ποιῆσαι ὄρυγμα καὶ θάψαι αὐτοῦ τὸ σῶμα· καὶ ἐποίησαν ὡς ἐκέλευσεν.

(περὶ τοῦ δαίμονος τοῦ ἐνοικήσαντος εἰς τὴν γυναῖκα)

39 εἰσῆλθε δὲ εἰς τὴν πόλιν ὁ ἀπόστολος τοῦ παντὸς ὄχλου 223 T.
ἀκολουθοῦντος αὐτῷ· ἐσκέπτετο δὲ ἀπελθεῖν πρὸς τοὺς γονεῖς τοῦ νεωτέρου, ὃν ἐζωποίησε θανόντα ὑπὸ τοῦ δράκοντος· πάνυ γὰρ ἐδέοντο αὐτοῦ παραγενέσθαι πρὸς αὐτοὺς καὶ εἰσελθεῖν εἰς τὸν οἶκον αὐτῶν.

γυνὴ δέ τις πάνυ ὡραία αἰφνιδίως φωνὴν ἀφῆκε μεγίστην λέγουσα· ,ἀπόστολε τοῦ νέου θεοῦ ὁ ἐλθὼν εἰς τὴν Ἰνδίαν, καὶ δοῦλε τοῦ ἁγίου ἐκείνου καὶ μόνου ἀγαθοῦ θεοῦ· διὰ σοῦ γὰρ οὗτος κηρύσ- 183 W.
σεται ὁ σωτὴρ τῶν ψυχῶν τῶν πρὸς αὐτὸν ἐρχομένων, καὶ διὰ σοῦ ἰατρεύεται τὰ σώματα τῶν ὑπὸ τοῦ ἐχθροῦ κολαζομένων, καὶ σὺ εἶ ὁ γεγονὼς πρόφασις τῆς ζωῆς πάντων τῶν ἐπ' αὐτὸν ἐπιστρεφόντων· κέλευσόν με ἀχθῆναι ἔμπροσθέν σου ἵνα σοι ἀφηγήσομαι τὰ συμβάντα μοι, καὶ τάχα ἐκ σοῦ γένηταί μοι ἐλπίς, καὶ οὗτοι δὲ οἱ 60 Th.
παρεστῶτές σοι εὐέλπιδες γένωνται μᾶλλον εἰς τὸν θεὸν ὃν κηρύσσεις. οὐ μικρῶς γὰρ βασανίζομαι ὑπὸ τοῦ ἐναντίου ἤδη χρόνου πενταετοῦς

---

10 ὤρυγμα P ‖ 11 scr πτῶμα? cf 22, 27 | σε uoc ἐκέλευσεν in ras P ‖ 12 περὶ — γυν.] πράξις ε', περὶ τῆς γυναικὸς. καὶ τοῦ συγγενομένου αὐτῇ δαίμονος P ‖ 13 εἰσῆλθεν δὲ ὁ ἀπ. εἰς τ. π. P ‖ 15 ἐζωοποίησεν P ‖ 16 αὐτοὶ P ‖ 18-19 ἀφ. μ. λέγ.] μεγ. ἀφιεῖσα ἔλεγεν P ‖ 19 ὁ εἰς τ. ἰνδ. ἐλθ. P ‖ 20 καὶ μ. ἀγ.] καὶ ἀγ. καὶ μ. P ‖ 21 ψ. τῶν] ψ. ἡμῶν, τῶν καὶ P ‖ 22 τῶν] τὰ P | κολαζόμενα P ‖ 23 γεγονὼς om P | προστάτης P | ἐπ' αὐτὸν] ὧδε P ‖ 24 διηγήσομαι P ‖ 25-32, 3 ἐκ σοῦ — δὲ] ὡς ἔγωγε τοῦτο πιστεύω. οὐ τῆς πρὸς σὲ ἐλπιζομένης ἀποτύχω ἐλπίδος· ἀλλὰ καὶ οὗτοι οἱ παρεστῶτες τὴν αὐτὴν συνεμοὶ, ἔχωσιν ἐλπίδα, εἰς τὸν σὸν ὃν κηρύττεις πιστεῦσαι θεόν· πάνυ γὰρ ἐγὼ ἡ ἀθλία ἐν ἔτεσι πέντε ὑπὸ τοῦ ἐναντίου βασανίζομαι· ὡς ἅτε οὖσα γυνή. ἐν ἡσυχίᾳ τὸ πρότερον καθεζομένης μου, καὶ πανταχόθεν εἰρήνη μοι περιέχουσα. καὶ μηδ' ἑνὸς μέριμναν ποιουμένης μου ἔτυχεν P

ἐνεστῶτος. ὡς γυνὴ ἐκαθεζόμην ἐν ἡσυχίᾳ τὸ πρότερον, καὶ πανταχόθεν με εἰρήνη περιεῖχε, καὶ οὐδενὸς μέριμναν ἐποιούμην· οὐδὲ γὰρ ἄλλου τινὸς φροντίδα εἶχον. 40 ἔτυχε δὲ ἐν μιᾷ τῶν ἡμερῶν ἐξιούσης μου ἀπὸ τοῦ λουτροῦ ἀπήντησέ μοι ὡς ἄνθρωπός τις τεθορυβημένος καὶ ἐντάραχος ὤν· ἡ δὲ τούτου φωνὴ καὶ ἀπόκρισις ἐδόκει μοι εἶναι ἀμυδρὰ καὶ λεπτὴ πάνυ· καὶ εἶπε στὰς ἀντικρύ μου· ἐγώ τε καὶ σὺ ἐν μιᾷ ἀγάπῃ ἐσόμεθα, καὶ κοινωνήσωμεν ἀλλήλοις ὡς ἀνὴρ γυναικὶ συμμίγνυται. κἀγὼ ἀπεκρινάμην αὐτῷ λέγουσα· τῷ ὁρμαστῷ μου οὐ συνεγενόμην παραιτουμένη τοῦ μὴ γῆμαι, καὶ σοὶ ὡς ἐν μοιχείᾳ θέλοντί μοι κοινωνῆσαι πῶς ἐμαυτὴν ἐκδώσω; καὶ εἰποῦσα ταῦτα διῆλθον ἀπ᾽ αὐτοῦ· τῇ δὲ παιδίσκῃ μου εἶπον· ἐθεάσαο τὸν νέον καὶ τὴν ἀναίδειαν αὐτοῦ, πῶς μὴ αἰδεσθεὶς παρρησίᾳ μοι διελέχθη; ἡ δὲ εἶπέ μοι· ἐγὼ πρεσβύτην εἶδον ὁμιλήσαντά σοι. γενομένης δέ μου ἐν τῇ οἰκίᾳ καὶ δειπνησάσης ἡ
61 Th. ψυχή μου εἰς ὑποψίαν τινὰ ὑπέβαλέ με, καὶ μάλιστα ὅτι δυσὶ μορ-
224 T. φαῖς ὤφθη μοι. τοῦτο αὐτὸ κατὰ νοῦν ἔχουσα ὕπνωσα. καὶ ἐλθὼν ἐν τῇ νυκτὶ ἐκείνῃ ἐκοινώνησέ μοι ἐν τῇ ῥυπαρᾷ μίξει αὐτοῦ. ἔβλεπον δὲ αὐτὸν καὶ ἡμέρας οὔσης, καὶ ἔφευγον ἀπ᾽ αὐτοῦ· ἐν δὲ
184 W. τῇ συνήθει αὐτοῦ νυκτὶ ἐρχόμενος παρεχρᾶτό μοι. καὶ νῦν ὡς ὁρᾷς με πέντε ἔτη ἔχω ὑπ᾽ αὐτοῦ ἐνοχλουμένη, καὶ οὐκ ἀπέστη ἀπ᾽ ἐμοῦ. ἀλλ᾽ ἐγὼ οἶδα καὶ πέπεισμαι ὅτι καὶ δαίμονες καὶ πνεύματα καὶ ἀλάστορες ὑποτάσσονταί σοι καὶ σύντρομοι γίνονται ἀπὸ τῆς εὐχῆς σου· εὖξαι οὖν ὑπὲρ ἐμοῦ καὶ ἀπέλασον ἀπ᾽ ἐμοῦ τὸν διενοχλοῦντά μοι δαίμονα, ἵνα γένωμαι κἀγὼ ἐλευθέρα καὶ συναθροισθῶ
62 Th. εἰς τὴν ἀρχαιόγονόν μου φύσιν, καὶ δέξομαι τὸ χάρισμα τὸ τοῖς συγγενεῦσί μου δεδωρημένον.‘

41 εἶπε δὲ ὁ ἀπόστολος· ‚ὢ πονηρία ἀκατάσχετος· ὢ ἀναίδεια τοῦ ἐχθροῦ· ὢ ὁ βάσκανος ὁ μηδέποτε ἠρεμῶν· ὢ ὁ δυσειδὴς

1-3 cf 31, 33 ‖ 4 ἀπήντησέν P | ὡς om P | τίσ ἄνθρ. P ‖ 5 ἀπ. κ. φ. P ‖ 6 εἶναι om P | εἶπε om P | ἄντικρύ P ‖ 7 μου] μου λέγει P | ἐσώμεθα P ‖ 8 μίγνυται P ‖ 9-10 οὐ — γῆμαι] παραιτησάμην, γῆμε με θέλων P ‖ 10 σὺ P | θέλ. μ. κοιν. om P ‖ 10-11 ἐμ. ἐκδ.] συνεισέλθω P ‖ 11 διέβην P | ἀπ᾽ αὐτοῦ om P | μου] τῇ συνεμοὶ οὔσῃ P ‖ 12 ἐθεάσω P | μὴ αἰδ. om P ‖ 13 διελ.] περὶ κακοῦ πράγματοσ διελ. P | εἶπεν P ‖ 14 σε P. ‖ 15 καθύπέβαλέν με τινά P | δυσὶν P ‖ 16 καὶ ἐλθ.] ἐλθ. οὖν P ‖ 17 ἐκοινώνησέν P | ἐν om P | τὴν ῥυπαρὰν μίξιν P ‖ 18 ἔφυγον P ‖ 19 συνήθ. — ἐρχ.] τῆσ νυκτὸσ αὐτοῦ ἐπιμιξία P ‖ 19-21 καὶ νῦν — πέπεισμαι] ἐν ἔτεσι ὑπ᾽ αὐτοῦ, παρενοχλούμενοσ πέντε, μὴ δυναμένη ἐξ᾽ αὐτοῦ ἀποστῆναι. καὶ οἶδα P ‖ 22-23 ἀπὸ τῆσ σῆσ εὐχ. σύντρ. γίν. P ‖ 23 διεν.] οὕτωσ παρενοχλοῦντα P ‖ 24 ἵνα] καὶ P ‖ 24-25 καὶ — μου] εἰσ τ. ἀρχ. συναθροίζων με P ‖ 25-26 καὶ — δεδωρ.] καὶ ἐν τῷ τῶν συγγενῶν καταξίωσόν με χαρίσματι P ‖ 27 εἶπεν δὲ πρὸσ αὐτὴν ὁ ἀπ. P

ὁ τοὺς εὐιδεῖς ὑποτάσσων· ὢ ὁ πολύμορφος· ὡς ἂν βουληθῇ φαίνεται, ἡ δὲ τούτου οὐσία μεταβληθῆναι οὐ δύναται· ὢ ἀπὸ τοῦ δολίου καὶ ἀπλήστου· ὢ τὸ δένδρον τὸ πικρόν, ᾧ καὶ οἱ καρποὶ αὐτοῦ ἐοίκασιν· ὢ ἀπὸ τοῦ διαβόλου τοῦ ὑπερμαχοῦντος τῶν ἀλλοτρίων· ὢ ἀπὸ τῆς πλάνης τῆς χρωμένης τῇ ἀναιδείᾳ· ὢ ἀπὸ τῆς πονηρίας τῆς ἑρπούσης ὡς ὄφις καὶ τούτου συγγενοῦς αὐτοῦ ὑπάρχοντος.‘ καὶ ταῦτα 185 W. εἰπόντος τοῦ ἀποστόλου ἐλθὼν ὁ δυσμενὴς ἔστη ἔμπροσθεν αὐτοῦ, μηδενὸς ὁρῶντος αὐτὸν εἰ μὴ τῆς γυναικὸς καὶ τοῦ ἀποστόλου, καὶ φωνῇ μεγίστῃ χρησάμενος εἶπε πάντων ἀκουόντων· 42 ‚τί ἡμῖν καὶ σοί, ἀπόστολε τοῦ ὑψίστου; τί ἡμῖν καὶ σοί, δοῦλε Ἰησοῦ Χριστοῦ; τί ἡμῖν καὶ σοί, σύμβουλε τοῦ ἁγίου πνεύματος; διὰ τί βούλει ἡμᾶς 63 Th. ἀπολέσαι τοῦ καιροῦ ἡμῶν μηδέπω ἐνεστῶτος; τίνος ἕνεκα βούλει λαβεῖν ἡμῶν τὴν ἐξουσίαν; ἕως γὰρ τῆς νῦν ὥρας εἴχομεν ἐλπίδα καὶ καιρὸν περιλειπόμενον. τί ἡμῖν καὶ σοί; σὺ ἔχεις ἐξουσίαν ἐν τοῖς σοῖς, καὶ ἡμεῖς ἐν τοῖς ἡμετέροις. τίνος ἕνεκα βούλει τυραννίδι καθ’ ἡμῶν χρήσασθαι, καὶ μάλιστα αὐτὸς ἄλλους διδάσκων μὴ χρήσασθαι τυραννίδι; τίνος οὖν ἕνεκα σὺ τῶν ἀλλοτρίων δέει ὡς τοῖς ἰδίοις μὴ ἐπαρκούμενος; τίνος ἕνεκα ἐξομοιοῦσαι τῷ υἱῷ τοῦ θεοῦ τῷ ἀδικήσαντι ἡμᾶς; ἔοικας γὰρ αὐτῷ πάνυ ὡς ἐξ αὐτοῦ ἀποκυηθείς. ἐνομίσαμεν γὰρ κἀκεῖνον ὑπὸ ζυγὸν ποιῆσαι ὡς καὶ τοὺς λοιπούς· ὃ 225 T. δὲ στραφεὶς ἔσχεν ἡμᾶς ὑποχειρίους. οὐ γὰρ ᾔδειμεν αὐτόν· ἠπάτησε δὲ ἡμᾶς τῇ μορφῇ αὐτοῦ ᾗ περιεβέβλητο καὶ τῇ πενίᾳ αὐτοῦ καὶ τῇ ἐνδείᾳ· θεασάμενοι γὰρ αὐτὸν τοιοῦτον ἐνομίσαμεν αὐτὸν σαρκοφόρον ἄνδρα εἶναι, μὴ εἰδότες ὅτι αὐτός ἐστιν ὁ ζωοποιῶν τοὺς ἀνθρώπους. ἔδωκε δὲ ἡμῖν ἐξουσίαν ἐν τοῖς ἡμετέροις, καὶ ἐν ᾧ ἐσμεν χρόνῳ τὰ ἡμέτερα μὴ ἐᾶσαι ἀλλ’ ἐν αὐτοῖς ἀναστρέφεσθαι· 186 W. σὺ δὲ βούλει ὑπὲρ τὸ δέον καὶ τὸ δεδομένον σοι κτήσασθαι καὶ ἡμᾶς καταπονῆσαι.‘

43 καὶ ταῦτα εἰπὼν ὁ δαίμων ἔκλαιε λέγων· ‚ἀφίημί σε τὴν καλλίστην μου σύζυγον, ἣν πρὸ πολλοῦ εὑρὼν ἀνεπαύθην· καταλιμπάνω σε τὴν ἀγαπητὴν καὶ βεβαίαν μου ἀδελφήν, ἐν ᾗ ηὐδόκησα. τί

1 ὁ om P | εὐειδεῖσ P | ὁ om P | ὡς] ὅτι ὢ (leg ὃ) P ‖ 2 ἀπὸ om P ‖ 3 ἀπίστου P | ᾧ καὶ] οὗ P ‖ 4-5 ὢ ἀ. τ. δ. — ἀναιδείᾳ] θάνατοσ P ‖ 6 τούτου] τοῦ τοῦ P ‖ 8 εἰ μὴ] ἢ P ‖ 9 εἶπεν P | σοὶ] σὺ (item 10 et 11) P ‖ 11 πνεύμ.] υἱοῦ τοῦ θεοῦ P | ἡμῖν (sic) βούλει P ‖ 12 οὔπω τ. κ. ἡμ. φθάσαντοσ P ‖ 12-13 τὴν ἐξ. ἡμ. βούλαι (sic) λαβεῖν P ‖ 14 παραλειπόμενον P ‖ 15 ἕνεκεν ‖ 15-17 βούλει — ἕνεκα om P ‖ 18 ἀρκούμενοσ P ‖ 20 γὰρ om P | ὃ] ὡς P ‖ 21 οἴδαμεν P ‖ 21-22 ἠπ. δὲ] ἠπάτησεν γὰρ P ‖ 22 ᾗ περιεβ.] τῇ δυσιδεστάτῃ P ‖ 25 ἔδωκεν P ‖ 26 ἀλλ’] ἀλλὰ P ‖ 27 κτήσασθαι om P ‖ 28 καταπ.] κατεξουσιάσαι P ‖ 29 ἔκλαιεν P ‖ 30 ἣν — ἀνεπ.] εἰσ ἣν τὸ πρότερον εἰσ ἱκανοὺσ χρόνουσ ἀνεπεώμην P ‖ 31 ἀγ. — ἀδ.] βεβ. μου ἀδ. τὴν ἀγαπ. P

64 Th. ποιήσω οὐκ οἶδα, ἢ τίνα ἐπικαλέσομαι ἵνα μοι ἐπακούσας ἐπαμύνῃ.
οἶδα τί ποιήσω· ἀπελεύσομαι εἴς τινας τόπους ἔνθα ἡ φήμη τοῦ
ἀνδρὸς τούτου οὐκ ἠκούσθη, καὶ τάχα σε τὴν ἐμὴν ἀγαπητὴν ἀντο-
νομάσω.‘ καὶ ἐπάρας αὐτοῦ τὴν φωνὴν εἶπε· ‚μένε ἐν εἰρήνῃ τὸ
καταφύγιον λαβοῦσα εἰς τὸν μείζονά μου· ἐγὼ δέ, καθὼς εἶπον,
ἀπελεύσομαι καὶ ζητήσω σου ὁμοίαν, καὶ ἐὰν μὴ εὕρω, πάλιν ἐπὶ
σὲ ἐπιστρέφω· οἶδα γὰρ ὅτι τούτου τοῦ ἀνδρὸς ἔγγιστα ὑπάρχουσα
εἰς αὐτὸν τὸ καταφύγιον ἔχεις, αὐτοῦ δὲ ἀποστάντος ἔσῃ ὁποία καὶ
ἦς πρὸ τοῦ αὐτὸν ἐπιφανῆναι, καὶ αὐτὸν μὲν ἐπιλήσῃ, ἐμοὶ δὲ πάλιν
187 W. καιρὸς καὶ παρρησία γενήσεται· νῦν δὲ τὸ ὄνομα τοῦ σὲ ῥυσαμένου
φοβοῦμαι.‘ καὶ ταῦτα εἰπὼν ὁ δαίμων ἀφανὴς ἐγένετο. ὡς δὲ μόνον
ἀφανισθεὶς ἀπέστη, πῦρ καὶ καπνὸς ὤφθη ἐκεῖ, καὶ πάντες οἱ ἐκεῖσε
παρόντες ἔκπληκτοι γεγόνασιν.

44 ἰδὼν δὲ ὁ ἀπόστολος εἶπεν αὐτοῖς· ‚οὐδὲν ξένον οὐδὲ ἀλλότριον
ἔδειξεν ὁ δαίμων ἐκεῖνος ἀλλὰ τὴν φύσιν αὐτοῦ, ἐν ᾗ καὶ κατα-
καυθήσεται· καὶ γὰρ τὸ πῦρ αὐτὸν καταναλώσει, καὶ ὁ τούτου καπνὸς
διασκεδασθήσεται. καὶ ἤρξατο λέγειν· ‚Ἰησοῦ Χριστέ, τὸ μυστήριον τὸ
ἀπόκρυφον ὃ ἡμῖν ἀπεκαλύφθη, σὺ εἶ ὁ ἐκφάνας ἡμῖν μυστήρια
πάμπολλα, ὁ ἀφορήσας με κατ’ ἰδίαν ἐκ τῶν ἑταίρων μου πάντων,
καὶ εἰπών μοι τρεῖς λόγους ἐν οἷς ἐγὼ ἐκπυροῦμαι, καὶ ἄλλοις εἰπεῖν
αὐτὰ οὐ δύναμαι· Ἰησοῦ ἄνθρωπε πεφονευμένε νεκρὲ τεθαμμένε,
226 T. 65 Th. Ἰησοῦ θεὲ ἐκ θεοῦ καὶ σωτηρ ὁ τοὺς νεκροὺς ζωοποιῶν καὶ τοὺς
νοσοῦντας ἰώμενος· Ἰησοῦ ὁ ἐπιδεόμενος ὥσπερ καὶ σώζων ὡς ἀνεν-
δεής, ὁ τοὺς ἰχθύας θηρεύων εἰς τὸ ἄριστον καὶ εἰς τὸ δεῖπνον, ὁ
πάντας ἐν πλησμονῇ καθιστῶν ἐν μικρῷ ἄρτῳ· Ἰησοῦ ὁ ἐπαναπαυόμε-
νος ἀπὸ τῆς ὁδοιπορίας τοῦ καμάτου ὡς ἄνθρωπος καὶ ἐπὶ τοῖς
κύμασι περιπατῶν ὡς θεός· 45 Ἰησοῦ ὕψιστε, φωνὴ ἀνατείλασα ἀπὸ
τῶν σπλάγχνων τῶν τελείων, πάντων σωτήρ, ἡ δεξιὰ τοῦ φωτὸς ἡ
καταστρέφουσα τὸν πονηρὸν ἐν τῇ ἰδίᾳ φύσει καὶ πᾶσαν αὐτοῦ τὴν

---

1 ἵνα] ἀπορῶ ἵνα P | ἐπακ. μοι P ‖ 2 τί] δὲ τί P | ἔνθα] ὅπου P ‖ 4 εἶπεν P ‖ 5 καθὼς εἶπον om P ‖ 6 ὁμ. σου ζητ. P | πάλιν om P ‖ 7 ἐπιστρεφω P ‖ 8 καὶ om P ‖ 9 πάλιν om P ‖ 10 νῦν δὲ] εἰ καὶ κατὰ τὸ παρὸν P | σὲ] σὲ ἐξ ἐμοῦ P ‖ 11-18 complures litt in extr ora libri abscisas punctis notabo ‖ 11 δ . . μων P | ἐγέν . το P ‖ 11-12 ὡς — ἀπ.] μόνον δὲ ἀποστ . . τος αὐτοῦ P ‖ 12 κ . πνὸς P | ἐκεῖ . . P ‖ 13 ἔκπληκ . . . ἐγένοντο P ‖ 14 ξέν . . P ‖ 15 ἔδ . . ξεν P | ἐκεῖν . . P | αὐτο . P ‖ 16 καπνὸ . P ‖ 17 ἤρξατο] ἤρξατο ὁ ἀπόστ . λος P | Χριστέ om P | μ . στήριον P ‖ 18 ἀπεκαλύφ . . P ‖ 19 πάμπολα P | καθίδιαν P | ἐκ om P ‖ 22 καὶ om P (non uidetur abscisum esse) ‖ 23-25 Ἰησοῦ — ἄρτῳ om P ‖ 27 κύμασιν P ‖ 27-28 φωνὴ — σωτήρ om P ‖ 28 δεξιά] δόξα P

φύσιν συναθροίζουσα εἰς ἕνα τόπον, ὁ μονογενὴς ὑπάρχων, ὁ πρωτό- 188 W.
τοκος πολλῶν ἀδελφῶν, θεὲ ἐκ θεοῦ ὑψίστου, ὁ ἄνθρωπος ὁ κατα-
φρονούμενος ἕως ἄρτι· Ἰησοῦ Χριστέ, ὁ μὴ παραβλέπων ἐν οἷς σε
ἐπικαλούμεθα, ὁ γενόμενος πρόφασις πᾶσι τῇ ἀνθρωπίνῃ ζωῇ, ὁ δι'
ἡμᾶς κρινόμενος καὶ φυλακιζόμενος ἐν δεσμωτηρίῳ καὶ λύων πάντας
τοὺς ἐν δεσμοῖς ὄντας, ὁ καλούμενος πλάνος καὶ τοὺς ἰδίους λυτρού-
μενος ἀπὸ τῆς πλάνης· δέομαί σου ὑπὲρ τῶν ἑστώτων καὶ δεομένων
σου τούτων καὶ πιστευόντων σοι· δέονται γὰρ τῶν σῶν δωρημάτων
τυχεῖν εὐέλπιδες ὄντες εἰς τὴν σὴν βοήθειαν, τὸ καταφύγιόν σου
κατέχοντες ἐν τῇ σῇ μεγαλοσύνῃ· τὰς ἀκροάσεις αὐτῶν ὑπέχουσιν
ἀκοῦσαι παρ' ἡμῶν τοὺς λόγους τοὺς λαλουμένους αὐτοῖς. ἐλθέτω
σου ἡ εἰρήνη καὶ σκηνωσάτω ἐν αὐτοῖς, ὅπως καθαρισθῶσιν ἀπὸ τῶν
προτέρων αὐτῶν πράξεων, καὶ ἀποδύσονται τὸν παλαιὸν ἄνθρωπον
σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδύσονται τὸν νέον τὸν νῦν ἐξ ἐμοῦ
καταγγελλόμενον αὐτοῖς.'

46 καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας εὐλόγησεν αὐτοὺς εἰπών· ,ἔσται 66 Th.
ἐφ' ὑμᾶς ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τοὺς αἰῶνας.'
καὶ αὐτοὶ εἶπον· ,ἀμήν.' ἐδεήθη δὲ αὐτοῦ ἡ γυνὴ λέγουσα· ,ἀπόστολε
τοῦ ὑψίστου, δός μοι τὴν σφραγῖδα, ἵνα μὴ ὑποστρέψῃ εἰς ἐμὲ πάλιν
ὁ ἐχθρὸς ἐκεῖνος.' τότε ἐποίησεν αὐτὴν ἐγγὺς αὐτοῦ γενέσθαι, καὶ
ἐπιθεὶς ἐπ' αὐτῇ τὴν χεῖρα αὐτοῦ ἐσφράγισεν αὐτὴν εἰς ὄνομα
πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. πολλοὶ δὲ παὶ ἄλλοι ἐσφρα-
γίσθησαν μετ' αὐτῆς. ἐκέλευσε δὲ ὁ ἀπόστολος τῷ διακόνῳ αὐτοῦ
παραθῆναι τράπεζαν· παρέθηκαν δὲ συμψέλλιον ὃ εὗρον ἐκεῖ. καὶ 189 W. 227 T.
ἁπλώσας σινδόνα ἐπ' αὐτὸ ἐπέθηκεν ἄρτον τῆς εὐλογίας. καὶ παρα-
στὰς ὁ ἀπόστολος εἶπεν· ,Ἰησοῦ Χριστέ, υἱὲ τοῦ θεοῦ, ὁ καταξιώσας
ἡμᾶς τῆς εὐχαριστίας τοῦ σώματός σου τοῦ ἁγίου καὶ τοῦ τιμίου

---

1 συναθροίζων P | ὁ πολύμορφος καὶ μονογ. P | ὁ πρ.] καὶ πρ. P ‖ 2-3 θεὲ — Χρ. ὁ] καὶ P ‖ 3 ἐν οἷς] ἡμᾶς ἐνοῖς P ‖ 4 πᾶσι τ. ἀ. ζ.] πάσης ζωῆς ἀνθρωπίνης P ‖ 5-6 τ. ἐν δεσμῷ ὄντας πάντας P ‖ 6 ἰδίους] αὐτοῦ δούλους P ‖ 6-7 ἀ. τ. πλ. λυτρ. P ‖ 7 παρεστώτων P ‖ 7-8 δεομ. — καὶ om P ‖ 8 δέονται — σῶν] τούτων· καὶ γὰρ τ. σ. δέονται P ‖ 9 εὐέλπ. — εἰς] καὶ P ‖ 9-11 τὸ καταφ. — αὐτοῖς] καὶ δι ἡμῶν τοὺς σοὺς λόγους ἀκοῦσαι P ‖ 12 ἡ εἰρ. σου ἐν αὐτ. κ. σκην. P | ὅπ. καθ.] καὶ ἀνακαινισάτω P ‖ 13 καὶ] ὅπως P | τ. παλ. ἀποδύσωνται ἄνθρ. P ‖ 14 πράξεσιν] πράξεσι καὶ ταῖς ἐπιθυμίαις P ‖ 14-15 νῦν — αὐτοῖς] καὶ δι' ἐμοῦ αὐτοῖς κηρυττόμενον P ‖ 16 αὐτοὺς om P ‖ 17 ἡμῶν om P ‖ 18 ἀμήν] τὸ ἀμήν P ‖ 21 ἐπέθηκεν αὐτῇ τὰς χεῖρας P | ἐσφρ.] καὶ εὐλόγησεν P ‖ 23 ἐκέλευσεν P ‖ 24-25 παρέθ. — ἐπέθ.] καὶ κυμφέλιον (sic) θέντες ἥπλωσαν σινδόνιον ἐπ' αὐτό· καὶ ἐπέθηκαν P ‖ 26 Χριστὲ — θεοῦ om P ‖ 27 σου] σου μεταλαβεῖν P | τιμίου] ἁγίου αὐτοῦ P

αἵματος κοινωνῆσαι, ἰδοὺ κατατολμῶμεν τῆς εὐχαριστίας καὶ ἐπικλήσεως τοῦ ἁγίου σου ὀνόματος, ἐλθὲ νῦν καὶ κοινώνησον ἡμῖν.‘ 47 καὶ ἤρξατο λέγειν· ‚ἐλθὲ τὰ σπλάγχνα τὰ τέλεια, ἐλθὲ ἡ κοινωνία τοῦ ἄρρενος, ἐλθὲ ἡ ἐπισταμένη τὰ μυστήρια τοῦ ἐπιλέκτου, ἐλθὲ ἡ κοινωνοῦσα ἐν πᾶσι τοῖς ἄθλοις τοῦ γενναίου ἀθλητοῦ, ἐλθὲ ἡ ἡσυχία ἡ ἀποκαλύπτουσα τὰ μεγαλεῖα τοῦ παντὸς μεγέθους, ἐλθὲ ἡ τὰ ἀπόκρυφα ἐκφαίνουσα καὶ τὰ ἀπόρρητα φανερὰ καθιστῶσα, ἡ ἱερὰ περιστερὰ ἡ τοὺς διδύμους νεοσσοὺς γεννῶσα, ἐλθὲ ἡ ἀπόκρυφος μήτηρ, ἐλθὲ ἡ φανερὰ ἐν ταῖς πράξεσιν αὐτῆς καὶ παρέχουσα χαρὰν
67 Th. 190 W. καὶ ἀνάπαυσιν τοῖς συνημμένοις αὐτῇ· ἐλθὲ καὶ κοινώνησον ἡμῖν ἐν ταύτῃ τῇ εὐχαριστίᾳ ἣν ποιοῦμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ τῇ ἀγάπῃ ᾗ συνήγμεθα ἐπὶ τῇ κλήσει σου.‘ καὶ εἰπὼν ταῦτα διεχάραξε τῷ ἄρτῳ τὸν σταυρόν, καὶ κλάσας ἤρξατο διαδιδόναι. καὶ πρῶτον τῇ γυναικὶ ἔδωκεν εἰπών· ‚ἔσται σοι τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν καὶ λύτρον αἰωνίων παραπτωμάτων.‘ καὶ μετ᾽ αὐτὴν ἔδωκε καὶ τοῖς ἄλλοις πᾶσι τοῖς τὴν σφραγῖδα δεξαμένοις.

(περὶ τοῦ νεανίσκου τοῦ φονεύσαντος τὴν κόρην)

48 ἦν δέ τις νεανίσκος διαπραξάμενος πρᾶγμα ἀθέμιτον, προσελθὼν δὲ τῷ ἀποστόλῳ ἔλαβε τῆς εὐχαριστίας τὸν ἄρτον τῷ ἰδίῳ στόματι, αἱ δὲ δύο χεῖρες αὐτοῦ παραυτὰ ἐξηράνθησαν, ὡς μὴ δύνασθαι ἔτι προσαγαγεῖν αὐτὰς τῷ ἰδίῳ στόματι. οἱ δὲ παρόντες ἰδόντες αὐτὸν ἀνήγγειλαν τῷ ἀποστόλῳ τὸ συμβάν· ὁ δὲ προσκαλεσάμενος αὐτὸν εἶπεν· ‚λέξον μοι, τέκνον, καὶ μὴ αἰδεσθῇς τινα, ὃ διεπράξω καὶ ὧδε ἦλθες· ἡ γὰρ εὐχαριστία τοῦ κυρίου ἤλεγξέ σε. τοῦτο γὰρ τὸ
191 W. 228 T. χάρισμα εἰς πολλοὺς διερχόμενον μάλιστα μὲν τοὺς διὰ πίστεως καὶ ἀγάπης προσιόντας ἰᾶται, σὲ δὲ ἀπεξήρανε, καὶ τὸ γενόμενον οὐ χωρὶς ἐνεργείας τινὸς γέγονεν.‘ ὁ δὲ νέος ἐλεγχθεὶς ὑπὸ τῆς εὐχαρι-

---

1-2 ἰδοὺ — ὀνόμ. om P ‖ 2 νῦν] καὶ εὐλόγησον P ‖ 3 καὶ — λέγειν om P ‖ 7 καθιστ.] ποιοῦσα P ‖ 10-11 ἐν — εὐχ.] ἐνταῦθα. κατὰ τὴν εὐχαριστίαν P ‖ 11 ὀν. σου] σῷ ὀν. P ‖ 12 τῇ κλ. σου] τῇ σῇ κλ. P ‖ 12-13 διεχάραξεν τὸν ἄρτον σταυρῷ P ‖ 13 διαδ.] διδεῖν P ‖ 14 ἔστω P ‖ 15 λύτρον om P | καὶ μετ᾽ αὐτὴν om P | ἔδ.] ἔδωκεν δὲ P ‖ 16 ἄλλοις om P | πᾶσιν P ‖ 17 τοῦ νεαν. om P | κόρην] γυναῖκα. πράξισ ϛ′ P ‖ 18 νεαν. τίσ P ‖ 19 τῷ ἀπ. om P | ἔλαβεν τὸν τ. εὐχ. ἄρτον P ‖ 20 παραυτὰ om P | ἔτι] μήκέτι τί P ‖ 21 αὐτὰς om P | ἰδόντες] οὕτωσ εἰδότεσ P ‖ 22 ἀπήγγειλαν P ‖ 22-23 ὁ δὲ — εἶπεν] καλέσασ δὲ ὁ ἀπόστολοσ εἶπεν αὐτῷ P ‖ 23 τινα ὃ] ὅτι καὶ P | καὶ om P ‖ 24 ἐλθών P | ἤλεγξέν P ‖ 25 εἰς] τὸ εἰσ P ‖ 26 σὲ δὲ ἀπεξ. om P | γινόμενον P | τινὸσ ἐνεργείασ P

στίας τοῦ κυρίου προσελθὼν προσέπεσε τοῖς ποσὶ τοῦ ἀποστόλου καὶ
ἐδέετο λέγων· ‚κακὸν πρᾶγμα πέπρακταί μοι, ἐνόμιζον γάρ τι καλὸν
διαπράττεσθαι. γυναικός τινος ἠράσθην οἰκούσης ἔξω τῆς πόλεως ἐν
πανδοχείῳ, καὶ αὐτὴ δέ με ἐφίλει. ἀκούσας δὲ ἐγὼ παρὰ σοῦ καὶ 68 Th.
πιστεύσας ὅτι θεὸν ζῶντα καταγγέλλεις, προσῆλθον καὶ τὴν σφραγῖδα
ἐδεξάμην παρὰ σοῦ σὺν τοῖς ἄλλοις· ἔλεγες δέ· ὃς ἐὰν κοινωνήσῃ
μιαρᾷ μίξει, μάλιστα καὶ ἐν μοιχείᾳ, οὗτος οὐχ ἕξει ζωὴν παρὰ τῷ
θεῷ ᾧ κηρύσσω. ἐπεὶ οὖν πάνυ αὐτὴν ἠγάπουν, ἐδεόμην αὐτῆς καὶ
ἔπειθον ἵνα σύνοικός μοι γενήσεται ἐν ἁγνείᾳ καὶ πολιτείᾳ καθαρᾷ,
ἣν σὺ αὐτὸς διδάσκεις· ἣ δὲ οὐκ ἐβούλετο. μὴ βουλομένης οὖν
αὐτῆς λαβὼν ξίφος ἐθανάτωσα αὐτήν· οὐ γὰρ ἠδυνάμην βλέπειν
αὐτὴν μετ᾽ ἄλλου μοιχευομένην.‘

49 ταῦτα ἀκούσας ὁ ἀπόστολος εἶπεν· ‚ὦ μανιώδης μῖξις, πῶς εἰς
ἀναισχυντίας χωρεῖς· ὦ ἐπιθυμία ἀκατάσχετος, πῶς τοῦτον ἐνίκησας
ταῦτα ποιῆσαι· ὦ ἔργον ὄφεως, πῶς ἐν τοῖς σοῖς ὀργίζῃ.‘ ἐκέλευσε 192 W.
δὲ ὁ ἀπόστολος ὕδωρ αὐτῷ προσενεχθῆναι ἐν λεκάνῃ. τοῦ δὲ ὕδα-
τος προσενεχθέντος εἶπεν· ‚ἐλθέτω τὰ ὕδατα ἀπὸ τῶν ὑδάτων τῶν
ζώντων, τὰ ὄντα ἀπὸ τῶν ὄντων καὶ ἀποσταλέντα ἡμῖν· ἡ ἀπὸ ἀνα-
παύσεως ἀποσταλεῖσα ἡμῖν πηγή, ἡ δύναμις τῆς σωτηρίας ἡ ἀπὸ
τῆς δυνάμεως ἐκείνης ἐρχομένη τῆς τὰ πάντα νικώσης καὶ ὑποτασ-
σούσης τῷ ἰδίῳ θελήματι, ἐλθὲ καὶ σκήνωσον ἐν τοῖς ὕδασι τούτοις,
ἵνα τὸ χάρισμα τοῦ ἁγίου πνεύματος τελείως ἐν αὐτοῖς τελειωθῇ.‘
καὶ εἶπε τῷ νεωτέρῳ· ‚ἄπελθε, νίψαι σου τὰς χεῖρας ἐν τοῖς ὕδασι
τούτοις.‘ καὶ νιψαμένου αὐτοῦ κατεστάθησαν. καὶ εἶπεν αὐτῷ ὁ ἀπό-
στολος· ‚πιστεύεις εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅτι πάντα
δύναται ποιῆσαι;‘ ὁ δὲ εἶπεν· ‚εἰ καὶ ἐλάχιστος τυγχάνω, πιστεύω·
ἀλλὰ τοῦτο διεπραξάμην οἰόμενός τι καλὸν ποιεῖν· ἐδεόμην γὰρ
αὐτῆς, ὥσπερ καὶ εἶπόν σοι, ἣ δὲ οὐκ ἠβουλήθη πεισθῆναί μοι, ἵνα 229 T. 69 Th.
ἑαυτὴν φυλάξῃ ἁγνήν.‘

---

1 προσέπεσεν P | ποσὶν P ‖ 1-2 καὶ ἐδέετο om P ‖ 2-3 πρᾶγμα — διαπρ.] πέπρακα (sic) πρᾶγμα, νομίσας τί καλὸν διαπραξάμενος P ‖ 3 ἤρων P ‖ 4 δέ prius om P | ἐγὼ om P ‖ 5 καταγγέλεις P ‖ 6 ὃς ἐὰν] ὅτι ἐάν τις P ‖ 6-7 κοιν. τῇ μ. μίξῃ P ‖ 8 ὃν κηρύττεις P ‖ 9 ἔπ. — γεν.] παρεκάλουν, σύνοικόν μου γενέσθαι P ‖ 10 ἣν σὺ αὐτὸς] καθὰ καὶ σὺ P | διδ.] διδ. ἡμᾶς P ‖ 11-12 βλ. αὐτ.] αὐτὴν ὁρᾶν P ‖ 13 ὁ ἀπ. ἀκ. P | πῶς εἰς] πόσης P ‖ 14 πῶς] ἡ P | κινήσασα P ‖ 15 ἐκέλευσεν P ‖ 17 ἔλθετε P ‖ 18 ἡ ἀπὸ ἀναπ.] ἡ ἀνάπαυσις ἡ ἀπὸ τῆς ἀναπ. P ‖ 19 πηγή om P ‖ 21 ἐνσκήνωσον ἐν P | τούτοις] τοῖς σοῖς P ‖ 23 εἶπεν P ‖ 24 νιψ. α.] ἅμα τῷ νίψασθαι αὐτὸν P | καὶ] καὶ ἐγένετο ὑγιὴς· καὶ P ‖ 26 τυγχ.] εἰμι P ‖ 27 τί ποτε καλὸν ποιῶν P ‖ 28 καθάπερ P | ἠβουλήθην (ν compend) P

50 εἶπε δὲ αὐτῷ ὁ ἀπόστολος· ‚δεῦρο ἀπέλθωμεν εἰς τὸ πανδοχεῖον ὅπου τοῦτο τὸ ἔργον διεπράξω, καὶ ἴδωμεν τὸ γεγονός.‘ προηγεῖτο δὲ ὁ νεώτερος τοῦ ἀποστόλου εἰς τὴν ὁδόν· γενόμενοι δὲ ἐν τῷ πανδοχείῳ εὗρον αὐτὴν κειμένην. ἰδὼν δὲ αὐτὴν ὁ ἀπόστολος ἠθύμησε, κόρη γὰρ ἦν εὔμορφος, καὶ ἐκέλευσεν αὐτὴν ἐνεχθῆναι ἐν
193 W. τῷ μέσῳ τοῦ ξενοδοχείου. ἐπιθέντες δὲ αὐτὴν ἐν κραββάτῳ ἐξήνεγκαν καὶ ἔθηκαν ἐν τῷ μέσῳ τῆς αὐλῆς τοῦ πανδοχείου. ἐπέθηκε δὲ αὐτῇ ὁ ἀπόστολος τὴν χεῖρα αὐτοῦ καὶ ἤρξατο λέγειν· ‚Ἰησοῦ, ὃς πάντοτε φαίνει ἡμῖν, τοῦτο γὰρ πάντοτε βούλει, ἡμᾶς σὲ ἐπιζητεῖν, καὶ αὐτὸς ἡμῖν ἔδωκας ταύτην τὴν ἐξουσίαν τοῦ αἰτεῖσθαι καὶ λαμβάνειν, καὶ οὐ μόνον τοῦτο ἐπέτρεψας, ἀλλὰ καὶ τὸ εὔξασθαι ἡμᾶς ἐδίδαξας· ὁ οὐχ ὁρώμενος παρὰ τοῖς σωματικοῖς ὀφθαλμοῖς, τοῖς δὲ τῆς ψυχῆς ἡμῶν οὐδ᾽ ὅλως ἀποκρυπτόμενος, καὶ τῇ μὲν ἰδέᾳ ἀπόκρυφος, τοῖς δὲ ἔργοις φανερούμενος ἡμῖν· καὶ ταῖς μὲν πράξεσί σου ταῖς πολλαῖς καθὼς χωροῦμεν ἐπεγνώκαμέν σε, αὐτὸς δὲ ἀμέτρως δέδωκας ἡμῖν τὰ δόματά σου, εἰπών· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· δεόμεθα οὖν ὑποψίαν ἔχοντες τῶν ἁμαρτημάτων ἡμῶν· αἰτοῦμεν δέ σε οὐ πλοῦτον, οὐ χρυσόν, οὐκ ἄργυρον, οὐ κτῆσιν, οὐκ ἄλλο τι τῶν ἀπὸ τῆς γῆς γινομένων καὶ πάλιν εἰς τὴν γῆν χωρούντων, ἀλλὰ τοῦτο δεόμεθά σου καὶ παρακαλοῦμεν, ἵνα ἐν τῷ ὀνόματί σου τῷ ἁγίῳ ἐγείρῃς ταύτην τὴν κειμένην ἐν τῇ σῇ δυνάμει εἰς δόξαν καὶ πίστιν τῶν παρεστώτων.‘

194 W. 70 Th. 51 καὶ ταῦτα αὐτοῦ προσευξαμένου εἶπε τῷ νεωτέρῳ σφραγίσας αὐτόν· ‚ἄπελθε καὶ λαβόμενος τῆς χειρὸς αὐτῆς εἰπὲ αὐτῇ· ἐγὼ διὰ τῶν ἐμῶν χειρῶν σιδήρῳ σε ἐφόνευσα, καὶ πάλιν ἐν ταῖς ἐμαῖς χερσὶν ἐπὶ τῇ πίστει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐγείρω σε.‘ προσελθὼν οὖν ὁ νέος παρέστη αὐτῇ λέγων· ‚ἐπίστευσα ἐπὶ σέ,

---

1 εἶπεν P ‖ 2 τοῦτο] καὶ P ‖ 4 κειμ.] κειμ. νεκράν P ‖ 5 ἠθύμησεν P ‖ 6 εἰσ κράββατον P ‖ 6-7 εἰσ τὸ μέσον P ‖ 7-8 ἐπέθηκεν δὲ τὴν χ. αὐτοῦ ἐπ᾽ αὐτὴν ὁ ἀπ. P ‖ 8-9 ὃς — ἐπιζ.] ὡσ πάντοτε ὁρᾶν οἶδασ ἡμᾶσ· ἐπιτοῦτο γὰρ ἐπιζητεῖν βούλη ἡμᾶσ P ‖ 10 αἰτ.] αἰτεῖσθαί σε P ‖ 11 τὸ] τοῦ P ‖ 12 ὁ οὐχ — σωμ.] οὐ παρὰ τ. σωμ. ἡμῶν ὁρώμ. P ‖ 13 μηδ᾽ ὅλωσ P ‖ 14 εἰδέα P | ἡμ. φαν. P ‖ 15 σου om P ‖ 16 δωρήματά P ‖ 17 ζητ. κ. εὑρ. om P | ὑμῖν om P ‖ 18 οὖν] οὖν ὡσ P | τ. ἁμ. ἡμ. ἔχ. P ‖ 18-19 αἰτ. δέ σε om P ‖ 19 οὐ χρ.] αἰτούμεθα καὶ χρ. P ‖ 20 γινομ.] ἐγειρομένων P ‖ 21 σοι δεόμεθα P ‖ 22 ἐγερεῖσ P | τὴν] τὴν νεκρὰν P ‖ 23 τῶν] τῶν σοὶ P ‖ 24 ταῦτα α. προσευξ. om P | εἶπεν P ‖ 25 λαβ. — αὐτῆς om P ‖ 26 πεφόνευκά σε P | πάλιν om P ‖ 27 ἐπὶ] ἐν P | κυρ. ἡμ. et Χρ. om P | ἐγερῶ P ‖ 28 νεώτερος P | αὐτῇ om P

Χριστὲ Ἰησοῦ.‘ καὶ ἀπιδὼν εἰς Ἰούδαν Θωμᾶν τὸν ἀπόστολον εἶπεν αὐτῷ· ‚ἔπευξαί μοι ἵνα ὁ κύριός μου εἰς τὴν βοήθειάν μου ἔλθῃ, ὃν καὶ ἐπικαλοῦμαι.‘ καὶ ἐπιθεὶς τὴν χεῖρα αὐτοῦ τῇ αὐτῆς χειρὶ εἶπεν· 230 T. ‚ἐλθέ, κύριε Ἰησοῦ Χριστέ, ταύτῃ μὲν παρέχων τὴν ζωήν, ἐμοὶ δὲ τῆς πίστεώς σου τὸν ἀρραβῶνα.‘ καὶ εὐθέως ἑλκύσαντος αὐτοῦ τὴν χεῖρα αὐτῆς ἀναπηδήσασα ἐκαθέσθη, ἀποβλέπουσα εἰς τὸν πολὺν ὄχλον τὸν παρεστῶτα· εἶδε δὲ καὶ τὸν ἀπόστολον ἄντικρυ αὐτῆς ἑστῶτα, καὶ καταλείπουσα τὸν κράββατον ἐκπηδήσασα πρὸς τοῖς ποσὶν αὐτοῦ ἔπεσε καὶ τῶν ἐνδυμάτων αὐτοῦ ἥπτετο λέγουσα· ‚δέομαί σου, κύριε, ποῦ ἐστιν ἐκεῖνος ὁ ἄλλος ὁ συνών σοι, ὃς οὐκ ἐγκατέλιπέ με παραμεῖναι εἰς ἐκεῖνον τὸν χῶρον τὸν δεινὸν καὶ χαλεπόν, ἀλλὰ σοί με παρέδωκεν εἰπών· σὺ ταύτην παράλαβε ἵνα τελειωθῇ καὶ μετὰ ταῦτα εἰς τὸν αὐτῆς χῶρον συναχθῇ.‘

52 ὁ δὲ ἀπόστολός φησι πρὸς αὐτήν· ‚ἐξήγησαι ἡμῖν ποῦ παρε- 71 Th. γένου.‘ ἡ δὲ ἀπεκρίνατο· ‚σὺ ὁ σὺν ἐμοὶ ὤν, ᾧ καὶ παρεδόθην, βούλει 195 W. ἀκοῦσαι;‘ καὶ ἤρξατο λέγειν· ‚ἄνθρωπός τις παρέλαβέ με ἀπεχθὴς τῇ εἰδέᾳ, μέλας ὅλος, ἡ δὲ τούτου ἐσθὴς πάνυ ῥερυπωμένη· ἀπήγαγε δέ με εἴς τινα τόπον ἐν ᾧ πολλὰ χάσματα ὑπῆρχε, καὶ πολλὴ δυσωδία καὶ ἀποφορὰ ἐχθίστη ἐκεῖθεν ἀπεδίδετο. ἐποίει δέ με εἰς ἕκαστον χάσμα παρακύψαι, καὶ εἶδον ἐν τῷ χάσματι πῦρ φλεγόμενον, καὶ τροχοὶ πυρὸς ἐκεῖσε ἔτρεχον, ψυχαὶ δὲ ἐνεκρέμαντο ἐν τοῖς τροχοῖς ἐκείνοις, ἀλλήλαις προσρηγνύμεναι· βοὴ δὲ καὶ ὀλολυγμὸς πλεῖστος ὑπῆρχεν ἐκεῖ, οὐδεὶς δὲ ἦν ὁ λυτρούμενος. ἔλεγε δέ μοι ὁ ἀνὴρ ἐκεῖνος· αὗται αἱ ψυχαὶ ὁμόφυλοί σού εἰσι, καὶ ἐν ἡμέραις ἀριθμοῦ παρεδόθησαν εἰς κόλασιν καὶ ἔκτριψιν, καὶ τότε ἄλλαι εἰσάγονται ἀντ' αὐτῶν, ὁμοίως δὲ πάλιν καὶ αὗται ἐν ἄλλῳ· αὗταί εἰσιν αἱ μεταλλάξασαι ἀνδρὸς καὶ γυναικὸς τὴν συνουσίαν. καὶ κατοπτεύσασα εἶδον βρέφη ἐπ' ἄλληλα σεσωρευμένα καὶ παλαίοντα ἄλληλα καὶ

---

1 Ἰησοῦ *καὶ* om P | *ἀπ' ἰδὼν δὲ εἰσ ἰούδαν τὸν καὶ θωμᾶν* P ‖ 2 *εὖξαί* P | prius μου om P ‖ 3 ἐπικ.] νῦν ἐπικ. P ‖ 4 ταύτῃ] καὶ ταύτην P | *παράσχου* P ‖ 5 *ἀραβῶνα* P ‖ 7 ἴδεν P | *ἄντικρυσ* P ‖ 8 *καταλειποῦσα* (i e *καταλιποῦσα*) P | *κράβατον ἐκπηδήσασασα* (sic) P ‖ 9 ἔπεσεν P | ἁπτομένη ἔλεγεν P ‖ 10 *κύρ.*] *κύριέ μου* P ‖ 10 *ἄλλος ὁ*] προβραχὺ P | σοι] *μετασοῦ* P | ἐγκατέλιπέν P ‖ 11 *χορὸν* P ‖ 13 *χορὸν συναφθῇ* P ‖ 14 εἶπεν αὐτῇ P ‖ 15 *παρεδόθη* P ‖ 16 *παρέλαβέν* P | *ἀπεχθὴς*] τῇ *χθὲσ ἡμέρα* P ‖ 17 *ὅλωσ* P ‖ 17-18 *ἀπήγαγέν με δὲ* P ‖ 19 *ἀπεδίδωτο* P ‖ 20 *κ. εἶδον*] εἶδον δὲ P ‖ 21 ἐνεκρέμμαντο P ‖ 22 *ἀλλήλοισ* P ‖ 23 οὐδ. δὲ] *καὶ οὐδεὶσ* P | ἔλεγεν P ‖ 24 εἰσίν P ‖ 25 ἐδόθησαν P ‖ 25-27 *καὶ τότε — συνουσίαν*] τῶν τὴν *οὐσίαν* τῶν *ἀνδρῶν* μεταλαξάντων (sic) P ‖ 28 ἐπάλληλα P | *ἀλλήλοισ* P | *καὶ* om P

ἐπικείμενα. ὃ δὲ ἀποκριθεὶς εἶπέ μοι· ταῦτά εἰσι τα τουτων βρέφη, καὶ διὰ τοῦτο ἐνθάδε ἐτέθησαν εἰς μαρτύριον αὐτῶν.

231 T. 72 Th. 53 ἀπήνεγκέ με εἰς ἄλλο χάσμα, καὶ παρακύψασα εἶδον βόρβορον καὶ σκώληκα ἀναβρύοντα, καὶ ψυχὰς ἐκεῖ κυλιομένας, καὶ βρυγμὸν μέγαν ἐκεῖθεν ἐξ αὐτῶν ἀκουόμενον. καὶ εἶπε πρός με ὁ ἄνθρωπος ἐκεῖνος· αὗται αἱ ψυχαὶ γυναικῶν εἰσὶ τῶν καταλειψασῶν τοὺς ἄνδρας αὐτῶν καὶ εἰς ἄλλους μοιχευθεῖσαι καὶ εἰς ταύτην τὴν βάσανον ἐνεχθεῖσαι. ἄλλο μοι χάσμα ἔδειξεν, εἰς ὃ παρακύψασα εἶδον ψυχὰς τὰς μὲν κρεμαμένας διὰ τῆς γλώττης, τὰς δὲ διὰ τῶν πλοκάμων, τὰς δὲ δια τῶν χειρῶν, τὰς δὲ διὰ τῶν ποδῶν κατὰ κεφαλῆς, καὶ καπνὸν καὶ θεῖον καπνιζομένας· περὶ ὧν μοι ἀπεκρίνατο ὁ ἀνὴρ ἐκεῖνος ὁ σὺν ἐμοὶ ὤν· αἱ μὲν ψυχαὶ αὗται αἱ κρεμασθεῖσαι διὰ τῆς γλώσσης διάβολοί εἰσι, καὶ ψευδεῖς λόγους καὶ αἰσχροὺς φθεγγόμεναι, καὶ μὴ αἰδούμεναι, καὶ γυμνοκέφαλοι ἐν τῷ κόσμῳ περιάγουσαι· αἱ δὲ διὰ τῶν χειρῶν κρεμασθεῖσαι αὗταί εἰσιν αἱ τὰ ἀλλότρια ἀφελόμεναι καὶ κλέψασαι, καὶ μετρίοις μὴ ἐπιδοῦσαι μηδέποτε μηδὲν μηδὲ ἐπαρκήσασαι τοῖς τεθλιμμένοις, ἀλλὰ τοῦτο ἐποίουν τὰ πάντα λαμβάνειν θέλουσαι, καὶ μηδὲ ὅλως τῆς δίκης καὶ τῆς νομοθεσίας φροντίδα ποιησάμεναι· αἱ δὲ διὰ τῶν ποδῶν κρεμασθεῖσαι αὗταί εἰσιν αἱ κούφως μὲν καὶ προθύμως τρέχουσαι ὁδοῖς πονηραῖς καὶ πονηρίαις ἀτάκτοις, νοσοῦντας μὴ ἐπισκεπτόμεναι καὶ τοὺς ἐξιόντας τοῦ βίου μὴ προκομίζουσαι, καὶ διὰ τοῦτο μία καὶ ἑκάστη ψυχὴ ἀπολαμβάνει τὰ πεπραγμένα αὐτῇ.

196 W. 54 πάλιν ἀπαγαγὼν ὑπέδειξέ μοι ἄντρον πάνυ σκοτεινόν, δυσωδίαν πολλὴν ἀποπνέον, πολλαὶ δὲ ψυχαὶ ἐκεῖθεν παρέκυπτον βουλόμεναι τοῦ ἀέρος τι μεταλαμβάνειν, οἱ δὲ τούτων φύλακες οὐκ εἴων αὐτὰς

---

1 μοι εἶπεν P | ἐστὶν P ‖ 3 ἀπήν.] ἀπήγαγε δέ P ‖ 4 σκώληκασ ἀναβρύοντασ P ‖ 5 ἐξ αὐτῶν ἐκεῖθεν P | εἶπεν P ‖ 6 εἰσὶν, αἱ καταλείψασαι P ‖ 7 μοιχεύσασαι P ‖ 8 ἄλλο — ἔδ.] ἔδειξεν δέ μοι καὶ ἄλλο χάσμα P ‖ 9 δ. τ. γλ. κρ. P ‖ 9-10 πλοκ. — ποδ.] πλοκ. ἑτέρασ διατῶν χειρῶν· ἄλλασ δια τ. ποδ. P ‖ 10 κ. κεφ.] ἐπικέφαλα P ‖ 11 μοι om P ‖ 11-12 ὁ ἀνὴρ — ὤν] ὁ σὺν ἐμοὶ λέγων ἀνὴρ P ‖ 12 ψ. — κρεμ.] κρεμασθῆσαι αὗται ψυχαὶ P ‖ 13-15 εἰσι — περιάγ.] εἰσιν οἱ ψ. φθεγγόμενοι λόγ. κ. αἰσχρ. καὶ μηδ᾽ ὅλωσ αἰδούμενοι· αἱ δὲ διατῶν τριχῶν κρεμάμεναι, οἱ ἄχρομοί (i e ἄχρωμοι) εἰσιν καὶ μὴ αἰσχυνόμενοι· καὶ γυμνοὶ τῇ κεφαλῇ περιόντεσ (leg περιιόντες) τῷ βίῳ P ‖ 15 κρεμάμεναι, οὗτοι P | οἱ P ‖ 16 ἀφελούμενοι κ. κλέψαντεσ P ‖ 16-17 μὴ — μηδὲ] μηδέποτε τί ἐπιδιδόναι· μὴ δὲ P ‖ 18 θέλοντεσ P | ὅλως] πω P ‖ 19 ποιησάμενοι· οἱ δὲ ἐκ τ. π. διάστροφοι κρεμάμενοι P ‖ 20 αὗταί εἰσιν om P | οἱ P ‖ 20-21 τρέχοντεσ εἰσ ὁδοὺσ πονηρὰσ καὶ πορείασ ἀτάκτουσ P | μὴ] δὲ μὴ P | ἐπισκεπτόμενοι P ‖ 22 προκομίζοντεσ P ‖ 23 αὐτῆσ P ‖ 24 ὑπέδ.] με ὑπέδειξέν P ‖ 25 ἀποπνέοντα καὶ πολλαὶ ψυχαὶ ἐκεῖσε P ‖ 26 ἀέρου P | μεταλαβεῖν P | τούτων om P

παρακύπτειν. ὁ δὲ συνών μοι εἶπε· τοῦτό ἐστι τὸ δεσμωτήριον τού- [73 Th.] των τῶν ψυχῶν ὧν εἶδες· ἐπὰν γὰρ πληρώσωσι τὰς κολάσεις αὐτῶν ὧν μία ἑκάστη ἔπραξεν, ὕστερον πάλιν ἄλλαι διαδέχονται αὐτάς — εἰσὶ δὲ καί τινες τελείως καταναλισκόμεναι — καὶ εἰς ἄλλας κολάσεις παραδίδονται. ἔλεγον οὖν τῷ ἀνδρὶ τῷ παραλαβόντι με ἐκεῖνοι οἱ τὰς ψυχὰς φρουροῦντες τὰς οὔσας ἐν τῷ σκοτεινῷ ἄντρῳ· δὸς [232 T.] ἡμῖν αὐτήν, ἵνα εἰσαγάγωμεν πρὸς τὰς ἄλλας, ἕως ὅτε καιρὸς ἐφίσταται εἰς κόλασιν παραδοθῆναι αὐτήν. ὃ δὲ ἀπεκρίνατο αὐτοῖς· οὐ δίδωμι ὑμῖν αὐτήν, ἐπειδὴ γὰρ φοβοῦμαι τὸν παραδόντα μοι αὐτήν· οὐ γὰρ ἐκελεύσθην ἐνθάδε αὐτὴν καταλεῖψαι· σὺν ἐμοὶ δὲ ἀναφέρω αὐτήν, ἕως ἂν ἐντολὴν περὶ ταύτης δέξωμαι. καὶ παραλαβών με ἀνήγαγέ με εἰς ἄλλον χῶρον, ἐν ᾧ ἦσαν ἄνθρωποι οἳ ἐβασανίζοντο πικρῶς. ὁ δέ σοι ὅμοιος λαβών μέ σοι παραδέδωκε, λέξας σοι ταῦτα· παράλαβε ταύτην, ἐπειδὴ μία τῶν θρεμμάτων ἐστὶ τῶν πλανηθέντων. καὶ ληφθεῖσα ὑπὸ σοῦ νῦν ἔμπροσθέν σού εἰμι. δέομαί σου οὖν καὶ ἱκετεύω ἵνα μὴ ἀπέλθω εἰς ἐκείνους τοὺς τόπους τοὺς κολαστηρίους [197 W.] οὓς εἶδον.'

55 ὁ δὲ ἀπόστολος τοῖς παρεστῶσιν ὄχλοις εἶπεν· ,ἠκούσατε, ἀδελφοί, ἃ διηγήσατο ἡ γυνὴ αὕτη· οὐκ εἰσὶ δὲ μόνον αὗται αἱ κολάσεις, ἀλλὰ καὶ ἄλλαι χείρονες τούτων· καὶ ὑμεῖς δὲ ἐὰν μὴ ἐπιστραφῆτε ἐπὶ τὸν θεὸν τοῦτον ὃν κηρύσσω, καὶ ἀπόσχησθε ἀπὸ τῶν προτέρων ἔργων ὑμῶν καὶ τῶν πράξεων ὧν διεπράξασθε χωρὶς γνώσεως, εἰς ταύτας τὰς κολάσεις τὸ τέλος ὑμῶν ἕξετε. πιστεύσατε [74 Th.] οὖν εἰς τὸν κύριον ὑμῶν Ἰησοῦν Χριστόν, καὶ ἀφίησιν ὑμῖν τὰ πρὸ τούτου πεπραγμένα ἁμαρτήματα, καὶ καθαρίσει ὑμᾶς ἀπὸ πασῶν τῶν ἐπιθυμιῶν τῶν σωματικῶν τῶν ἐν τῇ γῇ μενουσῶν, καὶ ἰάσεται ὑμᾶς ἀπὸ τῶν σφαλμάτων τῶν παρεπομένων καὶ σὺν ὑμῖν ἀπιόντων καὶ

---

1 ὁ δὲ] καὶ ὁ P | μοι εἶπε] εἶπεν μοι ἄνθρωπος P | ἐστιν P ‖ 2 αὐτῶν om P ‖ 3 μία — ἔπρ.] ἥμαρτεν μία καὶ ἑκάστη P | πάλιν om P | αὐτ. διαδ. P ‖ 4 εἰσὶν P | καί om P ‖ 5 οὖν — με] δὲ τῷ παραλ. με ἀνδρὶ P ‖ 6 ἐν τ. σκ. οὔσας P ‖ 7 πρὸς] αὐτὴν πρὸς P ‖ 8 αὐτ. παραδ. P ‖ 9 αὐτ. ὑμ. P | ἐπ. γ. φοβ.] φοβ. γὰρ P | με P ‖ 10 ἐνταῦθα P | ἀνάγω P ‖ 11 ταύτης] αὐτῆς P ‖ 12 ἀνήγαγεν P | με om P | χορὸν P ‖ 13 ὁμοίως P | παρέδωκεν P | ταῦτα σοι λέξας P ‖ 14 ἐπιδημία γάρ ἐστιν τῶν πλανηθέντων θρεμάτων (sic) P ‖ 15 οὖν om P ‖ 16 τοὺς κολ. τόπους P ‖ 18 τοῖς — ἠκ.] λέγει τῷ ὄχλῳ· κατηκούσατε P ‖ 19 ἀδελφοί om P | εἰσὶν P | μόναι P ‖ 19-20 αἱ κολ. αὗται P ‖ 20 ἕτεραι χείροναι P ‖ 22 καὶ τ. πράξ. om P | διεπράξατε P ‖ 23 ἕξετε] γενήσεται P ‖ 24 τὸν κ. ὑμ. om P | χρ. ἰησ. P ‖ 24-25 πρὸ τούτου] πρὶν ὑμῶν P ‖ 25 ἁμαρτήμ. om P | καθαρίσῃ P ‖ 25-26 πασ. — σωμ.] πάντων τῶν ἐπιθυμιῶν ὑμῶν καὶ σωματικῶν ἐνθυμήσεων P ‖ 26 ὑ uoc ὑμᾶς in ras P

πρὸ ὑμῶν εὑρισκομένων. ἕκαστος δὲ ὑμῶν ἀποδυσάσθω τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδυσάσθω τὸν νέον, τὴν δὲ πρώτην ὑμῶν ἀναστροφὴν καὶ πολιτείαν καταλείψατε· καὶ οἱ κλέπτοντες μηκέτι κλεπτέτωσαν, ἀλλὰ κάμνοντες καὶ ἐργαζόμενοι ζήτωσαν· οἱ δὲ μοιχοὶ μηκέτι πορνευέτωσαν, ἵνα μὴ ἐκδότους ἑαυτοὺς τῇ αἰωνίᾳ κολάσει παραδώσωσιν· ἡ γὰρ μοιχεία παρὰ τῷ θεῷ πάνυ χαλεπόν ἐστι κακὸν παρὰ τὰ ἄλλα κακά. ἀπόθεσθε δὲ καὶ τὴν πλεονεξίαν καὶ τὸ ψεῦδος καὶ τὴν μέθην καὶ τὴν διαβολὴν καὶ τὸ κακὸν ἀντὶ κακοῦ ἀνταποδιδόναι· ταῦτα γὰρ πάντα ξένα εἰσὶ τῷ θεῷ τῷ ὑπ' ἐμοῦ κηρυσσομένῳ καὶ
233 T. ἀλλότρια· ἀλλὰ καὶ μᾶλλον ἐν τῇ πίστει πολιτεύσασθε καὶ τῇ πραό-
198 W. τητι καὶ τῇ ἁγιωσύνῃ καὶ τῇ ἐλπίδι, ἐν ᾗ ὁ θεὸς χαίρει, ὅπως γένησθε αὐτοῦ οἰκεῖοι, προσδεξάμενοι παρ' αὐτοῦ τὰ χαρίσματα ἃ ὀλίγοι καὶ ἔνιοι δέχονται.'

56 πᾶς οὖν ὁ λαὸς ἐπίστευσε, καὶ τὰς ἑαυτῶν ψυχὰς πειθηνίους παρέσχον τῷ θεῷ τῷ ζῶντι καὶ τῷ Χριστῷ Ἰησοῦ, εὐωχούμενοι ἐν τοῖς ἔργοις αὐτοῦ τοῖς εὐλογημένοις καὶ τῇ διακονίᾳ αὐτοῦ τῇ ἁγίᾳ. ἐκόμιζον δὲ χρήματα πολλὰ εἰς διακονίαν τῶν χηρῶν· εἶχε γὰρ ἐν ταῖς πόλεσι συνηθροισμένας, καὶ πάσας αὐτὰς διὰ τῶν ἰδίων διακόνων ἀπέστελλε τὰ ἐπιτήδεια, τά τε ἐνδύματα καὶ τὴν τροφήν. αὐτὸς δὲ οὐκ ἐπαύετο κηρύσσων καὶ λέγων αὐτοῖς καὶ ὑποδεικνύων ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς περὶ οὗ αἱ γραφαὶ
75 Th. ἐκήρυξαν ὡς ἐλθὼν σταυροῦται καὶ ἐγείρεται διὰ τριῶν ἡμερῶν ἐκ νεκρῶν. ὑπεδείκνυε δὲ αὐτοῖς δεύτερον σαφηνίζων ἀρξάμενος ἀπὸ τῶν προφητῶν τὰ περὶ τοῦ Χριστοῦ, καὶ ὅτι ἔδει αὐτὸν ἐλθεῖν καὶ ἐν αὐτῷ τελεσθῆναι πάντα τὰ προλεχθέντα ἡμῖν περὶ αὐτοῦ.

---

1 ἕκ. δὲ] εἰσ ἕκ. οὖν P | ἀποδύσασθε P ‖ 2 ἐνδύσασθε P ‖ 4 κ. ἐργ. ζήτ.] ζῆτε κ. ἐργ. P | μοιχεύοντεσ P ‖ 5 πορν.] μοιχοὶ ἔστωσαν P ‖ 6 π. τ. θεῷ om P | χαλεπή ἐστιν P | κακὸν om P ‖ 8 τὸ ante κακὸν om P | ἀνταπ.] μὴ ἀποδίδετε P ‖ 9 εἰσὶν P ‖ 10 καὶ prius om P ‖ 10-13 πολιτ. — δέχ.] πολιτεύεσθε ἐν πραότητι καὶ δικαιοσύνῃ καὶ ἁγιωσύνῃ (ἁγιω in ras octo fere litterar)· ἵνα οἰκεῖοι τοῦ παρ' ἐμοῦ κηρυττομένου θεοῦ γένησθε, καὶ τῶν αὐτοῦ χαρισμάτων καταξιωθῆτε P ‖ 14 ἐπίστευσεν P | καὶ om P ‖ 15 παρέχοντεσ P | ζῶντι — εὐωχ.] ὑπὸ τοῦ ἀποστόλου κηρυττομένῳ θωμᾶ P ‖ 16-17 ἔργ. — ἁγίᾳ] ἔργ. τοῦ θεοῦ εὐωχούμενοι καὶ τῇ ἁγία αὐτοῦ πορευόμενοι διακονία P ‖ 17-18 χηρῶν (η in ras) καὶ πτωχῶν· εἶχεν P ‖ 18 πόλεσιν συνηθροισμένον πλῆθοσ πτωχῶν καὶ χηρῶν· καὶ πάντασ P | αὐτὰς om P ‖ 19 ἀπέστελλεν P ‖ 19-20 καὶ τ. τρ.] λέγω καὶ τὰ πρὸσ τροφήν P ‖ 20 post αὐτοῖς add τὸν λόγον τοῦ θεοῦ P ‖ 21 Ἰησοῦς om P ‖ 21-24 περὶ — Χρ. καὶ] ὁ σταυρωθεὶσ καὶ ταφεὶσ· καὶ τῇ τρίτῃ ἡμέρα ἀναστάσ, καὶ ἐκ δεξιῶν τοῦ αὐτοῦ πατρὸσ καθεζόμενοσ· ἀλλὰ καὶ ἀπὸ τῶν προφητῶν τὰ περι χριστοῦ αὐτοῖσ ἀνεδίδασκεν P ‖ 25 πάντα — περὶ] τὰ πάντα τὰ καὶ προλ. πάθη P

διέδραμε δὲ ἡ τούτου φήμη εἰς πάσας τὰς πόλεις καὶ χώρας, καὶ πάντες οἱ ἔχοντες νοσοῦντας ἢ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων προσέφερον, καὶ ἐθεραπεύοντο· οὓς δὲ καὶ ἐν τῇ ὁδῷ ἐτίθουν ἐν ᾗ ἔμελλε διελθεῖν, καὶ πάντας ἐν τῇ δυνάμει τοῦ κυρίου 199 W. ἐθεράπευε. τότε εἶπον πάντες ὁμοθυμαδὸν οἱ δι᾽ αὐτοῦ ἰαθέντες μιᾷ φωνῇ· ‚σοὶ δόξα, Ἰησοῦ, τῷ τὴν θεραπείαν ἐξ ἴσου παρασχόντι διὰ τοῦ δούλου σου καὶ ἀποστόλου Θωμᾶ. καὶ ὑγιαίνοντες καὶ χαίροντες δεόμεθά σου γενέσθαι τῆς σῆς ἀγέλης καὶ ἐναριθμηθῆναι εἰς τὰ σὰ πρόβατα· δέξαι οὖν ἡμᾶς, κύριε, καὶ μὴ λογίσῃ ἡμῶν τὰ παραπτώματα καὶ τὰ πρῶτα σφάλματα, ἃ διεπραξάμεθα ἐν ἀγνοίᾳ ὄντες.‘

57 ὁ δὲ ἀπόστολος εἶπε· ‚δόξα τῷ μονογενεῖ τῷ ἀπὸ τοῦ πατρός, δόξα τῷ πρωτοτόκῳ τῶν πολλῶν ἀδελφῶν, δόξα σοι τῷ ἐπαμύντορι καὶ βοηθῷ τῶν εἰς τὸ καταφύγιόν σου ἐρχομένων· ὁ ἄυπνος καὶ τοὺς ἐν ὕπνῳ διεγείρων, ὁ ζῶν καὶ ζωοποιῶν τοὺς ἐν τῷ θανάτῳ κατακειμένους· θεὲ Ἰησοῦ Χριστέ, τοῦ θεοῦ τοῦ ζῶντος υἱέ, ὁ λυτρωτὴς καὶ βοηθός, ἡ καταφυγὴ καὶ ἀνάπαυσις πάντων τῶν καμνόντων ἐν τῇ σῇ ἐργασίᾳ, ἴασιν δὲ παρέχων ἐκείνοις τοῖς διὰ τὸ σὸν ὄνομα 234 T. ὑποφέρουσι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν παγετὸν τῆς νυκτός· εὐχαριστοῦμεν τοῖς παρὰ σοῦ χαρίσμασι δοθεῖσιν ἡμῖν καὶ τῇ παρὰ σοῦ 76 Th. βοηθείᾳ χαρισθεῖσιν ἡμῖν καὶ τῇ οἰκονομίᾳ σου τῇ ἐλθούσῃ ἀπὸ σοῦ εἰς ἡμᾶς. 58 τέλεσον οὖν εἰς ἡμᾶς ταῦτα ἕως τέλους, ἵνα ἔχωμεν 200 W. παρρησίαν τὴν ἐν σοί· ἔπιδε εἰς ἡμᾶς, ὅτι διὰ σὲ κατελείψαμεν τοὺς οἴκους ἡμῶν, καὶ διὰ σὲ ξένοι γεγόναμεν ἡδέως καὶ ἑκόντες· ἔπιδε ἐφ᾽ ἡμᾶς, κύριε, ὅτι τὴν ἰδίαν κτῆσιν κατελείψαμεν διὰ σέ, ἵνα σὲ τὴν ἀναφαίρετον κτῆσιν κτησώμεθα· ἔπιδε ἐφ᾽ ἡμᾶς, κύριε, ὅτι τοὺς διαφέροντας ἡμῖν κατὰ γένος κατελείψαμεν, ἵνα τῇ σῇ συγγενείᾳ καταμιγῶμεν· ἔπιδε ἐφ᾽ ἡμᾶς, κύριε, τοὺς καταλείψαντας τοὺς πατέ-

---

1 διέδραμεν P ‖ 2 νοσ.] ἀσθενεῖσ P ‖ 3 ἐθερ.] ἐθεράπευεν αὐτούσ P | οὓς δὲ καὶ] ἄλλουσ δὲ P ‖ 4 ἔμελλεν διέρχεσθαι P ‖ 4-5 ἐν τῇ δ. — ἐθεράπευε] ἰᾶτο (in ima pag) P ‖ 5-6 μιᾷ φωνῇ om P ‖ 6 σοὶ — τῷ] δόξα σοι χριστὲ ἰησοῦ· ὁ P | παρασχὼν P ‖ 7 σοῦ δούλου P ‖ 8-9 δεόμ. — πρόβ.] τῇ σῇ παρακαλοῦμεν καὶ ἡμᾶσ συναριθμηθῆναι ποίμνῃ, καὶ τοῖσ σοῖσ μετόχουσ προβάτοισ γενέσθαι P ‖ 9 οὖν om P | μὴ λογ.] πάριδε P ‖ 10 καὶ — σφάλμ. om P ‖ 10-11 ἃ — ὄντες] ἃ καὶ ἐν ἀγνοίᾳ καὶ γνώσει διεπραξάμεθα P ‖ 12 εἶπεν P | post πατρὸς add εἰσ ἡμᾶσ ὧδε ἐλθόντι P ‖ 14 κατ. σου] σὸν κατ. P ‖ 16 υἱὲ τοῦ ζῶντοσ θεοῦ P ‖ 19 ὑποφ. — νυκτὸς] τὸ βάροσ τῆσ ἡμ. καὶ τὸν καύσονα ὑποφέρουσιν P ‖ 20 χαρίσμασιν P ‖ 20-21 καὶ τῇ — ἡμῖν om P ‖ 22-23 τέλεσον — σοί om P ‖ 23 κατελείπομεν (sic) P ‖ 24 post ἡμῶν add καὶ πᾶν γένοσ ἡμῶν P ‖ 25 κατελείπαμεν (sic) P | διὰ σέ om P | σου P ‖ 26-44, 2 ἔπιδε — θεΐκῆς om P

ρας ἑαυτῶν καὶ τὰς μητέρας καὶ τοὺς τροφέας, ἵνα τὸν σὸν πατέρα θεασώμεθα καὶ κορεσθῶμεν τῆς αὐτοῦ τροφῆς τῆς θεϊκῆς· ἔπιδε ἐφ' ἡμᾶς, κύριε, διὰ σὲ γὰρ τὰς συζύγους ἡμῶν τὰς σωματικὰς κατελείψαμεν καὶ τοὺς καρποὺς ἡμῶν τοὺς ἐπιγείους, ἵνα κοινωνήσωμεν ἐκείνῃ τῇ κοινωνίᾳ τῇ παραμόνῳ καὶ ἀληθινῇ, καὶ καρποὺς ἀληθινοὺς ἀποκυήσωμεν, ὧν ἡ φύσις ἄνωθεν ὑπάρχει, ὧν οὐδεὶς δύναται ἀφελέσθαι ἐξ ἡμῶν τὴν ἀπόλαυσιν, οἷς παραμένομεν καὶ αὐτοὶ ἡμῖν παραμένουσιν.'

(περὶ τοῦ στρατηλάτου πρᾶξις ζ')

τοῦ δὲ ἀποστόλου Ἰούδα τοῦ καὶ Θωμᾶ καταγγέλλοντος ἐν πάσῃ τῇ Ἰνδίᾳ τὸν λόγον τοῦ θεοῦ, στρατηλάτης τις τοῦ βασιλέως Μισδαίου
201 W. ἦλθεν πρὸς αὐτὸν λέγων· ,ἀκήκοα περὶ σοῦ ὅτι μισθὸν παρά τινος οὐ λαμβάνεις, ἀλλ' ὅπερ καὶ ἔχεις τοῖς δεομένοις παρέχεις· εἰ γὰρ μισθοὺς ἐλάμβανες, ἀπέστειλα ἂν χρῆμα ἱκανόν, καὶ αὐτὸς ἐνθάδε οὐ μὴ παραγέγονα· καὶ γὰρ ὁ βασιλεὺς ἐκτὸς ἐμοῦ οὐδὲν διαπράττεται· πολλὰ γάρ εἰσι τὰ ὑπάρχοντά μου καὶ πλούσιος σφόδρα εἰμί· οὐδ' ὅλως δέ ποτέ τινα ἠδίκησα. ἐναντίον δέ τί μοι συνέβη· γαμετὴν ἔχω, καὶ ἔσχον ἐξ αὐτῆς θυγατέρα, καὶ πάνυ διάκειμαι πρὸς αὐτήν, ὡς καὶ ἡ φύσις ἀπαιτεῖ, ἄλλης δὲ γυναικὸς οὐ πεπείραμαι. ἔτυχεν δὲ γάμον γενέσθαι ἐν τῇ ἡμετέρᾳ πόλει, καὶ πάνυ μοι προσφιλεῖς ὑπῆρχον οἱ τὸν γάμον ποιοῦντες· εἰσελθόντες οὖν ᾔτουν τὴν ἐμὴν στεῖλαι γυναῖκα καὶ τὴν αὐτῆς θυγατέρα. ἐπεὶ οὖν πάνυ μοι, ὡς εἶπον, ἐτύγχανον φίλοι, παραιτήσασθαι τούτους οὐκ ἠδυνάμην· ἑκατέρας οὖν ἀπελθεῖν ἔπεισα, πολλοὺς δὲ καὶ οἰκέτας ἀπέστειλα σὺν αὐταῖς. ἀπῄεσαν οὖν κόσμον πολὺν κεκοσμημέναι ἥ τε ἐμὴ γαμετὴ καὶ ἡ

3 διά σὲ γάρ] ὅτι διασὲ P | κατελείπαμεν (sic) P ‖ 4 καὶ τοὺσ ἐπιγείουσ ὡσ αὔτωσ καρποὺσ ἡμῶν P ‖ 5 π. κ. ἀληθῆ P ‖ 6-7 ἀφ' ἡμῶν ἀφελ. δυναται P ‖ 7 τὴν ἀπόλαυσιν om P ‖ 9 quae sequuntur inedita sunt | πράξισ ἑτέρα περὶ τ. στρατ. R (qui haec habet post 227, 21 Tischendorf) ‖ 10 τοῦ καὶ om R | πᾶσι P ‖ 11 τὸν — θεοῦ om R | μισδέου R ‖ 12 ἦλθε R | λέγων] καὶ ἔλεγεν αὐτῷ R ‖ 13 καὶ om R ‖ 15 οὐ παρ' ἐγενάμην· ὁ γὰρ βασ. R ‖ 16 ὑπάρχ. μοι εἰσίν (om τὰ) R | σφόδρα εἰμί] εἰμὶ εἰσ τὸν πλοῦτον τὸν ἐν τῇ ἰνδίᾳ· καὶ R ‖ 17 δέ om R | ἠδίκησα ποτὲ τινά· τὸ δὲ ἐναντ. μοι R ‖ 18 ἔσχων P | ὡς] ὃ R ‖ 19 ἔτυχε R ‖ 20 ὑπῆρχον] ἦσαν R ‖ 21-22 ᾔτ. — θυγ.] ἠξίουν με καλοῦντεσ αὐτὴν καὶ τὴν θυγατέρα αὐτῆσ R ‖ 21 scr ᾔτουν με? | στῆλαι P ‖ 22-24 ὡς — ἔπεισα] φίλοι ἦσαν, οὐκ ἠδυνήθην παρ' αἰτεῖσθαι, ἀπέστηλα οὖν αὐταῖσ οὐ βουλευομέναισ ἀπελθεῖν R ‖ 24 δὲ] οὖν R | σὺν ἀπέστ. αὐτ. R | ἀπίεσαν P ἀπῆλθον R ‖ 25 οὖν] δὲ R | ἥ τε ἐ. γαμ.] αὐτῇ τε R

ταύτης θυγάτηρ. ἑσπέρας δὲ γενομένης καὶ τοῦ καιροῦ ἑστάντος ἀναλῦσαι αὐτὰς ἐκ τῶν γάμων, λαμπάδας καὶ δᾷδας ἔπεμψα εἰς ἀπάντησιν αὐτῶν· κἀγὼ ἐν τῇ ὁδῷ εἱστήκειν κατοπτεύων πότε τὴν ἐμὴν γαμετὴν ἅμα τῇ θυγατρί μου θεάσομαι. καὶ εὐθέως φωνὴν ὀλολύζουσαν ἤκουον, ἐκ παντὸς δὲ στόματος οὕτως ἠκούετο· οἱ δὲ δοῦλοι τὴν ἐσθῆτα ἔχοντες περιερρηγμένην ἥκασιν τὸ συμβὰν ἀπαγγέλλοντες.

εἴδομεν, φησίν, ἄνθρωπόν τινα καὶ παῖδα σὺν αὐτῷ· καὶ ὁ μὲν ἄνθρωπος ἐπέβαλεν αὐτοῦ τὰς χεῖρας ἐπὶ τὴν γυναῖκά σου καὶ ὁ παῖς ἐπὶ τὴν θυγατέρα σου, αἳ δὲ ἔφυγον ἀπ' αὐτῶν· ἡμεῖς δὲ τοῖς ξίφεσιν ἐτρώσαμεν αὐτούς· τὰ δὲ ξίφη ἡμῶν εἰς γῆν ἔπεσον, καὶ αὐτῇ τῇ 202 W. ὥρᾳ κατέπεσον αὗται ταῖς ὀδοῦσι τρίζουσαι καὶ τὰς κεφαλὰς εἰς τὴν γῆν κρούουσαι· καὶ ταῦτα εἰδότες ἤλθομεν ἀναγγεῖλαί σοι.

ταῦτα δὲ παρὰ τῶν δούλων ἀκούσας ἐγὼ τὴν ἐσθῆτα διέρρηξα, καὶ ταῖς χερσὶν τὴν ὄψιν ἐπάταξα, καὶ ὥσπερ ἐμμανὴς γενόμενος ἔτρεχον· καὶ ἀπελθὼν εὗρον αὐτὰς ἐρριμμένας ἐν τῇ ἀγορᾷ· καὶ λαβὼν αὐτὰς εἰς τὴν οἰκίαν μου ἤγαγον, καὶ μετὰ πολλὴν ὥραν ἔνηψαν, καὶ κατασταθεῖσαι καὶ εἰς ἑαυτὰς γενάμεναι ἐκαθέσθησαν.

ἠρξάμην οὖν πρὸς τὴν γυναῖκά μου τὸ συμβὰν ἐξετάζειν· καὶ φησίν· οὐκ οἶδας ἃ διεπράξω ἐν ἐμοί· οὐκ ἐπὶ τὸ μὴ ἀπιέναι ἡμᾶς παρεκάλουν σοι; ἀνωμάλως γὰρ ἐπὶ τῷ ἀπιέναι εἶχον ἐκεῖ· ὅμως οὖν ἀπιοῦσα καὶ ἐγγὺς τοῦ ἀγωγοῦ γεναμένων ἡμῶν ἐν ᾧ τὸ ὕδωρ ἔρρεεν, εἶδον ἄνδρα μέλαινα ἑστῶτα ἄντικρυ ἡμῶν τῇ αὐτοῦ με ὑπο-

---

1 θυγ. αὐτῆσ R | γεναμένησ R | τοῦ om R | ἐκστάντοσ R: scr ἐπιστάντος cf 12, 3. 41, 7 ‖ 2 ἀναλύεται R | αὐτὰς om R | ἐκ] ἀπὸ R | τὸν γάμον P ‖ 3 ἠστήκειν P ἐστήκην R ‖ 3-4 τὴν ἐμ. — θεάσ.] ἔλθη καὶ θεάσομαι ἀυτην σὺν τῇ θυγατρί μου R ‖ 4 εὐθέως] ἐστῶσ (i e ἑστὼς) R ‖ 5 ὀλολυγμοῦ ἤκουον οὐαὶ αὐτήν· καὶ ἐκ R unde lacuna suppl | δὲ om R | στόμαματοσ P | οὕτως] ταῦτά μοι R ‖ 6 ἥκασιν P ἤρχοντο πρόσ με R | τὸ σ. ἀπ.] ἀναγγέλλοντεσ τὰ γινόμενα R ‖ 8 ἴδωμεν P (εἴδομεν R) | scr φασίν? | τινα om R ‖ 9 τὴν χεῖρα R ‖ 10 θυγατέραν R ‖ 11 ἔπεσεν R ‖ 12 ταῖς sic PR | τὴν om R: cf 11 ‖ 13 καὶ ταῦτα] ταῦτα οὖν R | εἰδότες om R: scr ἰδόντες cf 36, 21. 35 | ἀπαγγεῖλαί R ‖ 14 περιέρρηξα R ‖ 15 ταῖς χερσὶν] τὰς χεῖρασ ἐπὶ R | ἐμμανεὶσ R | γενόμενος om R ‖ 16 ἐρρημμένασ P ἐρρημένας R ‖ 17 ἤγ. εἰσ τ. ο. μ. R ‖ 18 ἔνιψαν R | καὶ εἰς ἑ. γενάμ. om R ‖ 19-20 πρὸς — φησίν] ἐξετ. τ. γυναῖκάν μου τί ἐστιν τὸ συμβάν σοι· ἡ δέ μοι ἔφη R ‖ 20 οἶδας] ἔγνωσ R ‖ 20-21 οὐκ — σοι] ἐδεόμην γάρ σου μὴ ἀπιέναι εἰσ τὸν γάμον· ἐπειδὴ R ‖ 21 γὰρ — ἀπιέναι om R ‖ 21-22 ἐκεῖ — οὖν] τῷ σώματί μου καὶ R ‖ 21 ἐπὶ τῷ ἀπιέναι et ἐκεῖ delenda: repet ex 20 ‖ 22 καὶ ἐγγ. — ἡμῶν] κατὰ τὴν ὁδὸν, ἐγγὺσ δὲ γενομένη τοῦ ἀγωγοῦ R ‖ 23 ἐρρέει ἔβλεπον R | μέλαν R: scr μέλανα? | ἄντικρύσ μου τῇ κεφαλὴ αὐτοῦ ὑπὸγρυλλίζοντά μοι R

γρυλίζοντα κεφαλῇ, καὶ παῖδα ὅμοιον αὐτοῦ παρεστῶτα. καὶ πρὸς τὴν ἡμῶν θυγατέρα εἶπον· ἴδε εἰς τοὺς δύο τούτους ἄνδρας τοὺς δυσιδεῖς, ὧν οἱ ὀδόντες αὐτῶν ὥσπερ γάλα, τὰ δὲ χείλη αὐτῶν ὡς ἀσβόλη. καὶ καταλιπόντες αὐτοὺς πρὸς τὸν ἀγωγὸν ἀπήλθομεν.

ἡλίου δὲ δύνοντος καὶ ἀπὸ τῶν γάμων ἡμῶν ἐπανιόντων μετὰ τῶν συνόντων νεανίσκων ἡμῶν, καὶ ἔγγιστα τοῦ ἀγωγοῦ γενόμενοι, ἡ θυγάτηρ ἡμῶν πρότερον εἶδεν αὐτούς· καὶ διαλαθοῦσα προσέφυγέ μοι· εἶθ' οὕτως κἀγὼ αὐτοὺς ἐθεασάμην πρὸς ἡμᾶς ἐρχομένους, καὶ φυγάδαι γεγόναμεν ἐξ αὐτῶν· οἱ δὲ μεθ' ἡμῶν ὄντες παῖδες κρού-
203 W. σαντες ἐμέ τε καὶ τὴν σὴν θυγατέρα κατέβαλον. καὶ ταῦτα αὐτῆς διηγησαμένης μοι ἐπελθόντες οἱ δαίμονες κατέβαλον αὐτάς· καὶ ἀπ' ἐκείνης τῆς ὥρας προελθεῖν ἔξω τῆς οἰκίας οὐ δύνανται. καὶ τούτου ἕνεκεν πολλὰ ἐγὼ ἀνιῶμαι καὶ τῇ λύπῃ λίαν καταβαπτίζομαι. καὶ γὰρ ὅπου δἂν εὕρωσιν αὐτάς, καταβάλλουσιν καὶ ἀπογυμνοῦσιν.

καὶ δέομαι καὶ παρακαλῶ καὶ ἔμπροσθεν ἱκετεύω σε τοῦ θεοῦ, βοήθησον καὶ ἐλέησόν με. τρία γὰρ ἔτη εἰσὶν ἀφ' οὗ τράπεζα ἐν τῇ οἰκίᾳ μου οὐκ ἐτέθη καὶ ἡ γυνή μου καὶ ἡ θυγάτηρ μου εἰς τράπεζαν οὐκ ἐκάθισαν· περισσοτέρως δὲ οἶδα τῇ λύπῃ καταβαπτίζεσθαι διὰ τὴν ἀθλίαν μου θυγατέρα· οὐδέπω γὰρ κατὰ τὸν ὧδε ἔφθασεν κόσμον χαρῆναι.‘ ταῦτα ἀκούσας ὁ ἀπόστολος παρὰ τοῦ στρατηλάτου πάνυ περὶ αὐτοῦ ἐλυπήθη· εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἀπόστολος· ‚πιστεύεις ὅτι θεραπεύσει τοῦτο Ἰησοῦς ὁ Χριστός;‘ ὁ δὲ στρατηλάτης ‚ναί‘

1 π. αὐτοῦ ὅμ. αὐτοῦ R ‖ 1-2 καὶ τῇ θυγατρί μου R ‖ 2 ἀπίδε R ‖ 2-3 εἰσ τοὺσ ἄνδ. τούτουσ τ. δύο τ. δυσιδ. R ‖ 3 αὐτῶν post χείλη om R ‖ 4 καταλειπόντεσ P καταλείψασαι R | ἀγῶνα R ‖ 5 ἡλ. δὲ δύν.] δύσεωσ δὲ γενομένησ R | τὸν γάμον P ‖ 5-6 ἡμ. ἐπ. — ἡμ. καὶ] ἀναλύσασαι διερχομένων ἡμῶν, ἦμεν σὺν τοῖσ νεανίσκοισ R ‖ 6 γενόμ. om R ‖ 7 ἡμ. πρ.] μου πρώτη R | διελθοῦσα πρὸσ ἔφυγέν R ‖ 8 εἶθ' οὕτως κἀγὼ] καὶ μετὰ ταύτην ἐγὼ R | πρὸς ἡ. ἐρχ.] ἐρχ. κατέναντι ἡμῶν R ‖ 9 φυγ. γ. ἐξ] ἐφύγομεν ἀπ' R | οἱ δὲ π. οἱ ὄντεσ μ. ἡμ. R | aut post παῖδες intercid aliquid aut q anteced ex syr corrigenda ‖ 10 ἐμέ — κατέβ.] ἡμᾶσ κατέβαλλον· ἐμέ τε καὶ τὴν θυγατέραν μου ἔρρηψαν R ‖ 11 ἐπῆλθον αὐταῖσ οἱ δ. καὶ κατέβαλλον α. R ‖ 12 πρὸσελθεῖν R ‖ 12-14 ἔξω — ἀπογυμν.] οὐ δύναται (sic) ἔξω· ἀλλ' ἐγκεκλεισμέναι οὖσαι ἐν ἑνὶ οἴκῳ ἢ δευτέρῳ· καὶ διὰ ταύτασ πάσχω καὶ ἀνιῶμεν (leg ἀνιῶμε = ἀνιῶμαι). καταβάλλουσιν γὰρ αὐτὰσ ὅπου ἐὰν εὕρωσιν ἀπογυμνοῦντεσ R ‖ 14 δ'ἂν P | καταβάλλωσιν P ‖ 15 καὶ δέ. κ. παρακ.] δέομαί σου R | ἱκ. ἔμπ. τ. θ. (om σε) R ‖ 16 εἰσὶν om R ‖ 17 μου post γυνή om R ‖ 18 ἐκάθησαν P ἐκαθέσθη R | περισσ. — καταβαπτ.] καὶ μάλλιστα R ‖ 18-19 δ. τ. θυγ. μου τ. ἀθλ. R ‖ 19-20 οὐδ. — χαρ.] ἡ οὐδ' ὅλωσ εἶδεν τι ἀγαθὸν ἐν τῷ κόσμῳ τούτῳ R ‖ 20 παρὰ] ἀπὸ R ‖ 21 ἐλυπ. περὶ αὐτ. R | εἶπε R | πρὸς — ἀπόστ.] αὐτῷ R ‖ 22 θεραπεύη αὐτὰσ ὁ ἰησοῦσ (om Χρ.) R

φησιν· καὶ ὁ ἀπόστολος· ‚παράθου οὖν τῷ Ἰησοῦ σεαυτόν, καὶ αὐτὸς αὐτὰς θεραπεύσει, τὴν βοήθειαν αὐτῶν ποιούμενος.‘

εἶπεν δὲ ὁ στρατηλάτης· ‚δεῖξόν μοι αὐτόν, ἵνα δεηθῶ αὐτοῦ καὶ πιστεύσω εἰς αὐτόν.‘ εἶπεν δὲ ὁ ἀπόστολος· ‚οὐ τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς τούτοις ὁρᾶται, ἀλλ' ἐν τοῖς νοεροῖς οἶδεν φαίνεσθαι ὀφθαλμοῖς.‘ ἐπάρας οὖν τὴν φωνὴν αὐτοῦ ὁ στρατηλάτης εἶπεν· 204 W. ‚πιστεύω, κύριε Ἰησοῦ Χριστέ, καὶ δέομαί σου καὶ ἱκετεύω, βοήθησον τῇ ὀλιγοπιστίᾳ μου ἣ εἰς σὲ ἔχω.‘

παρεκελεύσατο δὲ ὁ ἀπόστολος Ξενοφῶντι τῷ διακόνῳ συναγαγεῖν πάντας εἰς ἕν· συναθροισθέντος δὲ τοῦ ὄχλου ὁ ἀπόστολος ἐν μέσῳ ἑστὼς ἔλεγεν· ‚τέκνα μου καὶ ἀδελφοὶ οἱ εἰς τὸν κύριον πιστεύσαντες, παραμείνατε ἐν ταύτῃ τῇ πίστει, εὐαγγελιζόμενοι Ἰησοῦν τὸν ἐξ ἐμοῦ καταγγελθέντα ὑμῖν, ἔχοντες εἰς αὐτὸν τὰς ἐλπίδας· καὶ μὴ ἀπολειφθῆτε αὐτοῦ ποτε, καὶ οὐ μὴ καὶ αὐτὸς καθευδόντων ὑμῶν καταλείπῃ· ἐν τούτῳ τῷ καταβαροῦντι ὑμᾶς ὕπνῳ αὐτὸς ἄυπνος ὢν διαφυλάττει πάντας ἡμᾶς· ἔν τε τῇ τοῦ βίου τούτου θαλάσσῃ πλεόντων ἡμῶν καὶ ἐν κινδύνῳ ἡμῶν ὄντων ἀεὶ βοηθεῖν οἶδεν ἡμᾶς. ἐγὼ γὰρ ἤδη ἐξ ὑμῶν ἄπειμι καὶ ἄδηλόν ἐστιν εἰ ἔτι κατὰ σάρκα ὄψομαι πάλιν ὑμᾶς.

μὴ οὖν καὶ ὑμεῖς ἐξομοιωθῆτε τῷ λαῷ Ἰσραήλ, οἵτινες τὸν ἴδιον ποιμένα καταλιπόντες τῇ τούτων παρεδόθησαν ἀπωλείᾳ. Ξενοφῶντα δὲ τὸν διάκονον εἰς τὸν ἐμὸν καταλιμπάνω τόπον ὑμᾶς· καὶ γὰρ καὶ αὐτὸς ὡς κἀγὼ τὸν Ἰησοῦν καταγγέλλει· οὔτε γὰρ ἐγὼ ἀφ' ἑαυτοῦ

---

1 φησιν (φησι?) compend P | ἑαυτὸν R ‖ 2 θεραπεύει ποι. αὐτ. βο. (om τὴν) R ‖ 3 εἶπε R ‖ 4 εἰς αὐτόν] αὐτῷ R | ὁ δὲ ἀπ. ἔφη R ‖ 4-6 οὐ — ὀφθ.] οὐ φαίνεται τούτοισ τοῖσ ὀφθ. τοῖσ σωματικοῖσ, ἀλλὰ ἐν τοῖσ ὀφθ. τῶν πιστῶν εὑρίσκεται R ‖ 7 κύρ.] σοι R | Χριστέ om R | καὶ ante ἱκετ. om R ‖ 7-8 β. μοι τῇ ἀπιστείᾳ μου ἣ ἔσχον εἰσ σέ R ‖ 8 ἢ P ‖ 9 ξενωφόντι τῷ διακ. αὐτοῦ ὁ ἀπόστ. R ‖ 10 δὲ τ. ὄχλου] οὖν παντὸσ τ. λαοῦ R ‖ 10-11 ἑστῶσ ἐν μ. R ‖ 13 ἐξ] ὑπὸ R | ὑμ. καταγγ. R | ἐν ἀυτῷ R ‖ 14 ποτε om R ‖ 14-15 οὐ μὴ — ὕπνῳ] οὐκ ἐγκαταλιμπάνει ὑμᾶσ καθεύδοντασ ὑμῶν (sic) ἐν τῷ ὕπνῳ τούτῳ τῷ καταβαροῦντι τοὺσ καθεύδοντασ R | scr καταλίπῃ ὑμᾶς· καθ. ὑμ.? ‖ 16 διαφ. — τούτου] ὑμᾶσ διαφυλάσσει καὶ ἐν R | διαφυλάττῃ P ‖ 17 ὑμῶν R | κινδύνων R | ὄντων ἡμῶν R | ἀεὶ — ἡμ.] καὶ οὐδενὸσ βοηθεῖν δυναμένου, αὐτὸσ περιπατῶν ἐπὶ τῶν ὑδάτων ὑπορθοῖ βοηθόν R ‖ 18 ἤδη] αὐτὸσ R ‖ 18-19 ὄψ. ὑμ. κ. σ. (om πάλιν) R ‖ 20-21 τ. ἴδ. — ἀπωλ.] ἀπιδόντεσ τοὺσ ποιμένασ πρὸσ ὥρασ καιρὸν ἐσκανδαλίσθησαν. καὶ ὁ ἀπόστολοσ εὐξάμενοσ καὶ δεηθεὶσ τοῦ θεοῦ, ἰάσατο αὐτὰσ φωτήσασ τῷ ἁγίῳ βαπτίσματι R ‖ 21 ἀπολεία P ‖ 21-22 Ξεν. — ὑμ.] λοιπὸν δὲ τ. διάκ. καταλιμπ. πρὸσ ὑμᾶσ εἰσ τὸν τόπον μου R ‖ 22 καταλειμπάνω P | scr ὑμῖν? | καὶ post γὰρ om R ‖ 23 ὥσπερ R | ἀπαγγέλλει ὑμῖν τὸν ἰησοῦν R | καταγγέλλῃ P: scr καταγγελεῖ? ‖ 23-48, 1 ἀφ' — τι] εἰμὶ R

οἶδα λέγειν τι οὔτε αὐτός, ἀλλ' ὁ Ἰησοῦς· καὶ γὰρ κἀγὼ ἄνθρωπός εἰμι σάρκα φορῶν ὡς καὶ ὑμεῖς, καὶ ὡς εἷς οἶδα τυγχάνειν ὑμῶν· οὔτε γὰρ πλοῦτον κέκτημαι ὡς ἔνιοι τοῦτον ἔχειν ὀρέγουσι, ὃς καὶ
205 W. τοὺς κεκτημένους οἶδεν ἐλέγχειν ὡς ἀποίητον παντάπασιν ὄντα τῷ βίῳ· καὶ γὰρ ἀπὸ γῆς ἔρχεται καὶ εἰς τὴν γῆν πάλιν ἀφίεται, τὰ δὲ ἐκ τούτου τοῖς ἀνθρώποις συμβαίνοντα παραπτώματα συναπίονται. ἀλλὰ καὶ σπανίως πλούσιος εὑρίσκεται ἐλεήμων, οἱ δὲ ἐλεήμονες καὶ ταπεινοὶ τῇ καρδίᾳ αὐτοὶ τὴν τοῦ θεοῦ κληρονομήσουσι βασιλείαν. οὐ γὰρ τὸ κάλλος τοῖς ἀνθρώποις ἐπὶ πολὺ παραμένει· τοῦ γὰρ γήρους καταλαμβάνοντος αἰφνιδίως καταισχύνεται.

πάντα οὖν καιρὸν ἔχει· καιρῷ οὖν φιλεῖται καὶ καιρῷ μισεῖται. ἔστω οὖν ἡ ἐλπὶς εἰς Χριστὸν Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ τὸν ἀεὶ φιλούμενον καὶ ποθούμενον, καὶ μέμνησθε ἡμῶν ὡς καὶ ἡμεῖς ὑμῶν· καὶ γὰρ ἐὰν μὴ τὸ τῶν ἐντολῶν φορτίον τελέσωμεν, οὐκ ἄξιοί ἐσμεν κήρυκες τοῦ ὀνόματος εἶναι τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὴν τιμωρίαν ὕστερον ἐκεῖ τῆς ἑαυτῶν ἀποτίσομεν κεφαλῆς.' καὶ ἐπὶ ὥρας πολλὰς αὐτοῖς ἐπευξάμενος τῷ κυρίῳ εἶπεν·

,κύριε, ὁ δεσπόζων πάσης ψυχῆς τῆς ἐν σώματι οὔσης· κύριε, πάτερ τῶν εἰς σὲ τὰς ἐλπίδας ἐχόντων ψυχῶν, καὶ λυτρούμενος ἀπὸ παντὸς πειρασμοῦ τοὺς ἰδίους αὐτοῦ δούλους τοὺς ἐν τῇ σκέπῃ τῆς σῆς καταφεύγοντας ἀντιλήψεως, καὶ τούτους ἐκ τῆς κατεχούσης δουλείας λυτρούμενος καὶ φθορᾶς· σὺ γενοῦ ἐν τῇ ποίμνῃ τοῦ Ξενοφῶντος προστάτης καὶ ἀντιλήπτωρ, καὶ διατήρησον αὐτὴν ἀπὸ τῶν λύκων τῶν διαρπαζόντων.' καὶ ἐπιθεὶς αὐτοῖς τὴν χεῖρα εἶπεν· ,ἔσται ἐφ' ὑμᾶς ἡ εἰρήνη τοῦ κυρίου, καὶ ἡμῖν συνοδεύσει.'

206 W. (περὶ τῶν ὀνάγρων πρᾶξις η')

ἐξῆλθεν οὖν ὁ ἀπόστολος μετὰ τοῦ στρατηλάτου κατα τὴν αὐτοῦ πόλιν ἀπιέναι βουλόμενος. προέπεμπον δὲ πάντες αὐτὸν μετὰ δακρύων ὅρκοις αὐτὸν καθυποβάλλοντες μνήμην αὐτὸν ὑπὲρ αὐτῶν ποιεῖσθαι ἐν ταῖς δεήσεσιν αὐτοῦ καὶ μὴ ἐπιλανθάνειν αὐτούς.

ἀνελθὼν οὖν καὶ καθεσθεὶς ἐπὶ τοῦ ὀχήματος, πάντων τῶν ἀδελφῶν ὑποστρεψάντων, προσελθων ὁ στρατηλάτης διήγειρε τὸν ἡνίοχον

---

1 ἀλλ' ὁ] ἀλλὰ R | κἀγὼ] ἐγὼ αὐτὸσ R ‖ 2 σάρκα — ὑμ.] σῶμα ἐνδεδυμένοσ R | καὶ ὡς et q seq] καὶ παθεῖν ὑπὲρ αὐτὸν διψῶ· καὶ λόγχαισ τὸ τέλοσ πρὸσ αὐτόν με διαβῆναι. ἔτι δὲ νυκτὸσ οὔσησ (cf infra ubi R nota redit) sine ulla lacunae memoria R ‖ 4 scr ἀποίητος π. ὢν? ‖ 5 γῆσ ras corr ex τῆσ P: scr τῆς γῆς? cf 38, 20 | ἀφείεται P ‖ 11 μισῆται P ‖ 12 ἐλπὶς] ὑμῶν intercid uid ‖ 16 scr τῇ — κεφαλῇ? (Vsener) | ἀποτήσωμεν P ‖ 19 scr ἐχουσῶν? ‖ 29 scr αὐτῷ κ.?

λέγων· ,ἐγὼ δέομαι καὶ εὔχομαι ἵνα ὑπὸ τοὺς πόδας αὐτοῦ καθεσθῆναι καταξιωθῶ, καὶ γενήσομαι αὐτοῦ ἡνίοχος κατὰ τὴν ὁδὸν ταύτην, ἵνα καὶ αὐτὸς γένηταί μου παράπομπος εἰς ἐκείνην τὴν ὁδὸν δι’ ἧς ὀλίγοι πορεύονται.‘

ὁδευσάντων οὖν αὐτῶν μίλια δύο ἐδεήθη ὁ ἀπόστολος τοῦ στρατηλάτου ἵνα αὐτῷ συγκαθεσθῇ ἐπιτρέψας τὸν ἡνίοχον εἰς τὸν ἴδιον τόπον καθεσθῆναι. ἡνίκα δὲ ἀπῄεσαν, συνέβη ἐκ τοῦ πολλοῦ καύματος κεκοπιακέναι τὰ ὑποζύγια καὶ μὴ δυνάμενα ὅλως σαλευθῆναι. ὁ δὲ στρατηλάτης περίλυπος γενάμενος πάνυ ἠθύμει· ἐβούλετο δὲ τοῖς ἰδίοις ποσὶν ἀπελθεῖν καὶ ἕτερα ὑποζύγια ἀγαγεῖν τοῦ ὀχήματος ἕνεκεν· ὁ δὲ ἀπόστολος εἶπεν· ,μὴ ἀθύμει· πίστευσον εἰς Χριστὸν Ἰησοῦν ὃν κατήγγειλά σοι, καὶ θαυμάσια ὄψῃ μεγάλα.‘ ἀπιδὼν 207 W. δὲ εἶδεν ἀγέλην ὀνάγρων νεμομένην περὶ τὴν ὁδόν· καὶ τῷ στρατηλάτῃ εἶπεν· ,εἰ ἐπίστευσας εἰς Χριστὸν Ἰησοῦν, πορευθεὶς εἰς τὴν ἀγέλην τῶν ὀνάγρων ἐκείνην εἰπέ· λέγει ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος τοῦ Χριστοῦ τοῦ νέου θεοῦ· ἐλθέτωσαν ἐξ ὑμῶν τέσσαρες ὧν ἂν χρείαν ἔχωμεν‘.

ἀπῆλθεν δὲ ὁ στρατηλάτης τῷ τῶν ὀνάγρων συνεχόμενος φόβῳ· πολλοὶ γὰρ ὑπῆρχον· καὶ ἀπελθόντος αὐτοῦ αὐτοὶ εἰς ἀπάντησιν ἤρχοντο· ἐγγὺς δὲ γενόμενος εἶπεν αὐτοῖς· ,κελεύει ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος τοῦ νέου θεοῦ· ἐλθέτωσαν ἐξ ὑμῶν τέσσαρες ὧν χρείαν ἔχω.‘ ταῦτα τοῦ στρατηλάτου εἰπόντος οἱ ὄναγροι ὁμοθυμαδὸν δρόμῳ χρησάμενοι πρὸς αὐτὸν ἤρχοντο, ἐλθόντες δὲ προσεκύνησαν αὐτόν. εἶπεν δὲ αὐτοῖς ὁ ἀπόστολος· ,εἰρήνη ὑμῖν. τέσσαρας 208 W. ἀντὶ τούτων τῶν ζῴων ἐξ ὑμῶν χρῄζω ζευχθῆναι.‘ ὑπῆρχον οὖν ἐκεῖ τέσσαρες ἰσχυρότεροι, οἳ καὶ ζευχθέντες διέσωσαν τῷ ἁγίῳ· οἱ δὲ ἄλλοι οἳ μὲν προῆγον, οἳ δὲ ἠκολούθουν· ὀλίγον δὲ ὁδευσάντων ἀπέλυσεν τοὺς πώλους λέγων· ,ὑμῖν λέγω τοῖς συνοίκοις τῆς ἐρήμου· εἰς τὰς νομὰς ὑμῶν ἀπέλθατε· εἰ γὰρ πάντων ἔχρῃζον, πάντες ἂν 209 W. συναπῄειτέ μοι. νῦν δὲ ἄπιτε εἰς τὸν χῶρον ὑμῶν ἐν ᾧ διατρίβετε.‘ οἳ δὲ ἀπῄεσαν ἐν ἡσυχίᾳ ἕως οὗ ἀφανεῖς ἐγένοντο.

ἀπερχόμενοι οὖν τοῦ τε ἀποστόλου καὶ τοῦ στρατηλάτου καὶ τοῦ ἡνιόχου εἷλκον ἐν ἡσυχίᾳ οἱ ὄναγροι ὁμαλῶς, ἵνα μὴ ταράξωσιν τὸν ἀπόστολον τοῦ θεοῦ. ἐγγὺς δὲ γεναμένων τῆς πύλης τῆς πόλεως καὶ εἰσιόντες ἔστησαν πρὸ τῶν πυλῶν τῆς οἰκίας τοῦ στρατηλάτου.

---

8 del καὶ? an scr δύνασθαι? | δανάμενα an δυνάμενα dubium P || 9 ἠθύμη P || 11 ἀθύμη P || 13 ἴδεν P | scr παρά? || 16 Χ. τ. υἱοῦ τ. θ. syr | ε υος νέου in ras P || 17 ὧν χρ. ἔχομεν Usener || 30 συναπίητέ P | scr διετρίβετε? || 31 ἀπίεσαν P || 32-33 καθεσθέντων add syr || 33 εἵλκων P

ὁ δὲ στρατηλάτης εἶπεν· ‚ἀσυγχώρητόν μοί ἐστιν ἐξηγήσασθαι τὰ γεγονότα, ἀλλὰ πρότερον ἴδω τὸ ἀποβησόμενον.‘ ἡ οὖν πόλις πᾶσα ἤρχετο ἰδεῖν τὸν ἀπόστολον, καὶ τοὺς ὀνάγρους ἐζευγμένους· ἤκουσαν γὰρ περί τε τῆς ἐπιδημίας τοῦ ἀποστόλου καὶ τῶν ὀνάγρων.

ὁ δὲ ἀπόστολος ἐπυνθάνετο τοῦ στρατηλάτου λέγων· ‚ποῦ σού ἐστιν ἡ οἴκησις καὶ ποῦ ἡμᾶς ἀπάγεις;‘ ‚σὺ αὐτὸς ἐπίστασαι ὅτι πρὸ τῶν θυρῶν ἱστάμεθα· ἅμα δὲ καὶ οἱ διὰ τῆς σῆς ἐντολῆς ἐλθόντες ὄναγροι.‘

ταῦτα δὲ εἰπὼν ὁ ἀπόστολος κατέβην ἀπὸ τοῦ ὀχήματος. ἤρξατο οὖν ὁ ἀπόστολος λέγειν· ‚Ἰησοῦ Χριστὲ ὁ βλασφημούμενος διὰ τὴν σὴν ἐπίγνωσιν ἐν τῇ χώρᾳ ταύτῃ· Ἰησοῦ Χριστὲ οὗ ἡ φήμη ξένη ἐν τῇ πόλει ταύτῃ· Ἰησοῦ ὁ παραλαμβάνων πάντας τοὺς ἀποστόλους ἐν πάσῃ χώρᾳ καὶ ἐν πάσῃ πόλει, καὶ πάντες οἱ σοὶ δοῦλοι ἐν σοὶ
210 W. δοξάζονται· Ἰησοῦ ὁ τύπον λαβὼν καὶ γενόμενος ὡς ἄνθρωπος καὶ πᾶσιν ἡμῖν φανεὶς ἵνα μὴ τῆς ἰδίας αὐτοῦ ἀγάπης ἀποχωρίσῃς ἡμᾶς· σὺ εἶ, κύριε, ὁ ἑαυτὸν δοὺς ὑπὲρ ἡμῶν καὶ τῷ αἵματί σου ἡμᾶς ἐξαγοράσας καὶ κτησάμενος ἡμᾶς κτῆμα πολυτίμητον· τί δὲ ἔχομέν σοι δοῦναι, κύριε, ἀντάλλαγμα τῆς σῆς ψυχῆς ἧς ἔδωκας ὑπὲρ ἡμῶν; ὃ γὰρ θέλομεν, ἐκεῖνο ἡμῖν δίδως· τοῦτο δέ ἐστιν ἵνα δεηθῶμέν σου καὶ ζήσωμεν.‘

ταῦτα δὲ τοῦ ἀποστόλου εἰπόντος πολλοὶ πανταχόθεν τοῦτον ἰδεῖν συνηθροίζοντο ὡς ἅτε τοῦ νέου θεοῦ ἄνθρωπον ὄντα. εἶπεν δὲ πάλιν ὁ ἀπόστολος· ‚τί ἑστήκαμεν ἀεργεῖς; Ἰησοῦ κύριε, ἡ ὥρα πάρεστιν· τί ἀπαιτεῖ γενέσθαι;‘ ἡ δὲ γυνὴ τοῦ στρατηλάτου καὶ ἡ τούτου θυγάτηρ ἐβαρήθησαν σφόδρα ὑπὸ τῶν δαιμόνων ὡς νομίζειν τοὺς οἰκείους ὅτι οὐκέτι ἀνίστανται· οὐδ᾽ ὅλως γὰρ συνεχώρησάν τινος μεταλαβεῖν αὐτάς, ἀλλὰ ἀνέκλιναν αὐτὰς ἐπὶ ταῖς κοίταις αὐτῶν μηδ᾽ ὅλως τινὰς ἐπιγινωσκούσας ἕως ἐκείνης τῆς ἡμέρας ἐν ᾗ κατέλαβεν ὁ ἀπόστολος.

εἶπεν δὲ ὁ ἀπόστολος ἑνὶ τῶν ὀνάγρων τῶν ἐν τῷ δεξιῷ μέρει ἐζευγμένων· ‚εἴσελθε ἐντὸς τῆς αὐλῆς· καὶ ἑστὼς ἐκεῖσε κάλεσον τοὺς δαίμονας καὶ εἰπὲ αὐτοῖς· λέγει ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος καὶ μαθητὴς Ἰησοῦ Χριστοῦ· ἔλθετε ὧδε ἔξω· δι᾽ ὑμᾶς γὰρ ἀπεστάλην καὶ εἰς τοὺς διαφέροντας ὑμῖν κατὰ γένος, ἵνα ὑμᾶς ἀπολέσω

2 ἡ] εἰ P ‖ 6 ante σὺ lacunam supple e syr ‖ 9 ὁ ἀπόστ. del aut scr ὁ στρατηλάτης ‖ 10 et 12 cf syr ‖ 14 τύπων (ο ex ω?) P ‖ 15 ἀποχωρήσησ P ‖ 18 ἀντάλαγμα P ‖ 19 θέλωμεν P | cf syr ‖ 22 ἄνθρ.] scr ἀπόστολον ‖ 23 κύριε om syr ‖ 28 scr τινά? ‖ 30 τὸν P | μέρη P ‖ 31 ἐζευγμένον P ‖ 34 ὑμῖν in ras P (p?)

καὶ διώξω εἰς τὸν ὑμέτερον χῶρον, ἕως ὅτε καιρὸς γένηται συντελείας καὶ εἰς τὸ ὑμέτερον βάθος τοῦ σκότους κατέλθητε.‘ εἰσῄει δὲ ὁ ὄναγρος ἐκεῖνος πολλοῦ ὄχλου συνόντος αὐτῷ καὶ ἔλεγεν· ‚ὑμῖν 211 W. λέγω τοῖς εἰδόσι τοῖς ὀφθαλμοῖς κάμνειν, τοὺς ἐχθροὺς τοῦ Ἰησοῦ τοῦ καλουμένου Χριστοῦ· ὑμῖν λέγω τοῖς μὴ εἰδόσι τὸ φῶς ὁρᾶν· οὐ γὰρ δύναται ἡ κακίστη φύσις μεταβληθῆναι εἰς ἀγαθόν· ὑμῖν λέγω, τὰ τέκνα τῆς γεέννης καὶ τῆς ἀπωλείας· ὑμῖν λέγω τοῖς ἀναιδεστάτοις, τοῖς δι' ἑαυτῶν ἀπολλυμένοις· τί δὲ εἴπω περὶ τῆς ὑμῶν ἀπωλείας καὶ τέλους, τί δὲ καὶ ὑφηγήσομαι, οὐκ οἶδα· πολλὰ γάρ ἐστιν καὶ πρὸς τὴν ἀκρόασιν ἀναρίθμητα. μείζονα δέ εἰσιν αἱ ὑμέτεραι πράξεις ἀπὸ τῆς κολάσεως τῆς ὑμῖν τετηρημένης. σοὶ δὲ λέγω τῷ δαίμονι καὶ τῷ σῷ υἱῷ τῷ συνεπομένῳ σοι· δι' ὑμᾶς γὰρ ἀπέσταλμαι· τί δὲ πολλοὺς λόγους ποιοῦμαι ἕνεκεν τῆς ὑμῶν φύσεως καὶ ἀναιδείας; λέγει δὲ ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος Χριστοῦ τοῦ Ἰησοῦ, ὃς διὰ πολλὴν ἀγάπην καὶ διάθεσιν ἐνθάδε ἀπεστάλην, ἵνα ἐπὶ παντὸς τοῦ ἐνεστῶτος ὄχλου ἐξελθόντες εἴπητε ποίου γένους ἐστέ.‘ καὶ εὐθέως ἐξῆλθεν ἡ γυνὴ σὺν τῇ θυγατρὶ αὐτῆς, νενεκρωμέναι καὶ ἠτιμασμέναι· θεασάμενος δὲ αὐτὰς ὁ ἀπόστολος ἐλυπήθη πάνυ, μάλιστα διὰ τὴν παῖδα, καὶ λέγει τοῖς δαίμοσιν· ‚μὴ γένοιτο ἱλασμὸν γενέσθαι καὶ φειδὼ εἰς ὑμᾶς· οὐδὲ γὰρ τὸ φείδεσθαι ἢ τὸ ἐλεεῖν ἐπίστασθε· πλὴν εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ ἀπόστητε ἀπ' αὐτῶν καὶ ἐκ 212 W. πλευρῶν στῆτε.‘

ταῦτα εἰπόντος τοῦ ἀποστόλου αἱ γυναῖκες πεσοῦσαι ἀπενεκρώθησαν· οὔτε γὰρ πνεῦμα εἶχον οὔτε φωνὴν παρεῖχον· ὁ δὲ δαίμων ἀποκριθεὶς φωνῇ μεγάλῃ εἶπεν· ‚καὶ ὧδε, ἀπόστολε, ἥκεις, ὁ τὴν φύσιν ἡμῶν διαγελῶν; ἥκεις, ὁ τὴν τέχνην ἡμῶν ἀπαλείφων; ὡς δὲ νομίζω, οὐ συγχωρεῖς ἡμῖν ὅλως ἐπὶ τῆς γῆς εἶναι· τοῦτο δὲ νῦν ἐν τῷ καιρῷ τούτῳ ποιῆσαι οὐ δύνασαι.‘

ἐστοχάσατο δὲ ὁ ἀπόστολος ὅτι ὁ δαίμων οὗτος ἐκεῖνός ἐστιν ὁ ἀπ' ἐκείνης τῆς γυναικὸς ἐλασθείς. ὁ δὲ δαίμων εἶπεν· ‚δέομαί σου, ἐπίτρεψόν με καὶ ὅπου με βούλει ἀπελθόντα οἰκῆσαι καὶ παρὰ σοῦ ἐντολὴν δέξασθαι, ἵνα μὴ φοβοῦμαι τὸν ἐξουσιαστὴν τὸν κατ' ἐμοῦ τὴν ἐξουσίαν ἔχοντα.

ὥσπερ γὰρ σὺ ἦλθες εὐαγγελίσασθαι, οὕτως ἀφανίσαι ἦλθον κἀγώ· καὶ ὥσπερ σύ, ἐὰν μὴ πληρώσῃς τὸ θέλημα τοῦ πέμψαντός σε, κατὰ κεφαλῆς δίδωσί σοι τὴν τιμωρίαν, οὕτως κἀγώ, ἐὰν μὴ ποιήσω

4 scr καμμύειν? cf syr | scr τοῖς ἐχθροῖς? (ἐχθροῦσ P) ‖ 8 ἀπολείασ P ‖ 14-15 scr Ἰ. τ. Χρ.? ‖ 20 τῶ φ. P ‖ 26 τ. τέχ.] τὰ ἴχνη syr ‖ 28 δύνασε P ‖ 30 ἐκ. cf 31, 12 ‖ 31 del καὶ prius? οἰκεῖσ //// et in ras αι P ‖ 32 scr φοβῶμαι ‖ 33 ἀφανῆσαι P

τὸ θέλημα τοῦ ἀποστείλαντός με, πρὸ καιροῦ καὶ τῆς προθυμίας εἰς
213 W. τὴν αὐτοῦ φύσιν ἀποστέλλομαι· καὶ ὥσπερ σοὶ βοηθεῖ ὁ Χριστὸς ἐν οἷς διαπράττει, καὶ ἐμὲ βοηθεῖ ὁ πατήρ μου ἐν οἷς διαπράττομαι· καὶ ὥσπερ σοὶ κατασκευάζει σκεύη τοὺς ἀξίους τῆς σῆς οἰκήσεως, οὕτως καὶ ἐμοὶ ἐπιζητεῖ σκεύη δι' ὧν ὀφείλω τὰς αὐτοῦ πράξεις τελειοῦν· καὶ ὥσπερ τρέφει καὶ οἰκονομεῖ τοὺς ὑπηκόους, οὕτως κἀμοὶ κολάσεις καὶ βασάνους σὺν τοῖς οἰκήτορσί μου παρασκευάζει· καὶ ὥσπερ σοὶ τὴν ἀντιμισθίαν τῆς σῆς ἐνεργείας, τὴν αἰώνιόν σοι παρέχει ζωήν, οὕτως κἀμοὶ παρέχει τὰς ἀμοιβὰς τῶν ἔργων μου, τὴν αἰωνίαν ἀπώλειαν.

καὶ ὥσπερ σὺ τῇ εὐχῇ σου καὶ τοῖς ἀγαθοῖς ἔργοις ἐν ταῖς πνευματικαῖς σου ἐπαναπαύει δοξολογίαις, οὕτως κἀγὼ ἐπαναπαύομαι φόνοις τε καὶ μοιχείαις ἐργαζόμενος καὶ ταῖς διὰ οἴνου ἐν τοῖς βωμοῖς γινομέναις θυσίαις· καὶ ὥσπερ σὺ ἐπιστρέφεις τοῖς ἀνθρώποις εἰς ζωὴν αἰώνιον, κἀγὼ ἀποστρέφω τοὺς ὑπακούοντάς μοι εἰς ἀπώλειαν καὶ κόλασιν αἰωνίαν· καὶ σὺ τοὺς ἰδίους δέχει κἀγὼ τοὺς ἐμούς.'

τοιαῦτα καὶ ἕτερα πλείονα εἰπόντος τοῦ δαίμονος πρὸς αὐτὸν ὁ ἀπόστολος εἶπεν· ,κελεύει σοι Ἰησοῦς καὶ τῷ σῷ παιδὶ δι' ἐμοῦ ἵνα μηκέτι εἰς κατοίκησιν ἀνθρώπου εἰσέλθῃς. ἐξέλθετε καὶ ἀπέλθετε ἔξω τῆς οἰκήσεως τῶν ἀνθρώπων.' οἱ δὲ δαίμονες εἶπον αὐτῷ· ,ἀπηνῶς προσέταξας ἡμῖν· τί δὲ καὶ πρὸς τούτους προστάξεις τοὺς νῦν ἀπὸ σοῦ κεκρυμμένους; οἱ γὰρ κατασκευάσαντες τὰ ὧδε ξόανα ἐν αὐτοῖς χαίρουσιν καὶ τὰ θελήματα αὐτῶν διαπράττουσι, θύοντες αὐτοῖς καὶ τὰς τροφὰς προσάγοντες ἐν σπονδαῖς καὶ διὰ οἴνου καὶ ὕδατος προσφέρουσιν καὶ ἀναθήμασι.' καὶ ὁ ἀπόστολος εἶπεν· ,καὶ αὐτοὶ νῦν καταργηθήσονται σὺν ταῖς πράξεσιν αὐτῶν.' καὶ αἰφνιδίως
214 W. ἄφαντοι γεγόνασιν οἱ δαίμονες. αἱ δὲ γυναῖκες ὡς εἰς τύπον νεκρῶν ἐρριμμέναι ἔκειντο ἐπὶ γῆς, μὴ τὴν οἵαν οὖν φωνὴν ἀναπέμποντες. καὶ οἱ ὄναγροι ὁμοῦ ἵσταντο μὴ ἀπ' ἀλλήλων ἀφιστάμενοι· ὁ γὰρ ἰθύνας αὐτοὺς τοῦ θεοῦ λόγος τὸ πρᾶον καὶ ἥσυχον αὐτοὺς ἐδωρήσατο, ὅστις καὶ τὸ λέγειν ἀνθρωπίνως παρέσχεν. πάντων οὖν εἰς αὐτοὺς τοὺς ὀνάγρους ἀτενιζόντων, τί διαπράξονται ἀφορῶντες, λέγει ὁ ὄναγρος τῷ ἀποστόλῳ· ,τί ἕστηκας ἀργός, ἀπόστολε Χριστοῦ τοῦ

---

1 καὶ del Vsener | scr προθεσμίας ‖ 2 σὺ βοηθῇ P ‖ 3 scr ἐμοὶ? | βοηθῇ P ‖ 4 σὺ κατασκευάζῃ P ‖ 6 τρέφῃ P | οἰκ.] σὲ καὶ add syr | τοὺς σοὺς ὑπηκ. Vsener: cf syr ‖ 8 σὺ P | σοι del? cf 54, 24 ‖ 11 ἐν] scr καὶ? ‖ 13 ἐργ. om syr ‖ 14 ἐπιστρέφῃς P | scr τοὺς ἀνθρώπους ‖ 16 scr τοὺς μισθοὺς τ. ἰδ.? cf syr ‖ 20 ἀπεινῶς P ‖ 23 scr διαπράττονται? ‖ 24 del καὶ ante διά? ‖ 25 scr κ. ἀναθήματα προσφέροντες? ‖ 26 νῦν καταργ.] scr συνκαταργ.? ‖ 28 ἐρρημμέναι P ‖ 30 scr αὐτοῖς? cf 54, 27 ‖ 31 τῷ P ‖ 32 cf syr ‖ 33 del Χριστοῦ? cf 29, 21. 36

ὑψίστου, καὶ οὐ τὰ κάλλιστα τάχιον τοῦ Χριστοῦ αἰτεῖς μαθήματα; τί οὖν βραδύνεις; ὁ γὰρ σὸς διδάσκαλος βούλεται τὰ μεγαλεῖα αὐτοῦ διὰ τῶν σῶν δεῖξαι χειρῶν καὶ τὰ ἀπόρρητα τοῖς πᾶσιν ὧδε ἐκφᾶναι τοῖς ἀξίοις αὐτοῦ εὐδοκῶν ταῦτα ἀκούειν. τί ἡσυχάζεις ὁ τὰ μεγάλα διαπραττόμενος εἰς ὄνομα τοῦ κυρίου; ὁ γὰρ σὸς δεσπότης προτρέπεταί σοι λαλεῖν. μὴ τοίνυν φοβοῦ· οὐ γὰρ ἀφήσει ψυχὴν τὴν σοὶ προσήκουσαν κατὰ γένος.

ἄρξαι οὖν τοῦ ἐπικαλεῖσθαι αὐτὸν καὶ αὐτός σοι ἑτοίμως ἀκούσῃ. τί ἕστηκας θαυμάζων πάσας αὐτοῦ τὰς πράξεις καὶ τὰς ἐνεργείας; μικρὰ γάρ ἐστιν πρὸς τὴν αὐτοῦ ἀγαθότητα ταῦτα. τί δὲ καὶ ὑφηγήσῃ περὶ τῶν μεγάλων αὐτοῦ δωρημάτων; οὐ γὰρ ἐξαρκέσεις τοῖς 215 W. αὐτοῦ θαύμασιν ἐξειπεῖν. τί δὲ θαυμάζεις περὶ τῶν σωματικῶν αὐτοῦ ἰάσεων ὧν οἰκείοις ὀφθαλμοῖς ἰδεῖν ἠξιώθης;

τί δὲ καὶ ἀποβλέπεις εἰς αὐτὴν τὴν πρόσκαιρον ζωήν, καὶ περὶ τῆς αἰωνίας οὐδὲν ἐνθυμεῖσαι; ὑμῖν δὲ τοῖς παρεστῶσιν ὄχλοις πᾶσιν καὶ τὰς καταβεβλημένας ἐγερθῆναι προσδοκῶσι λέγω· πιστεύσατε τῷ ἀποστόλῳ Ἰησοῦ Χριστοῦ· πιστεύσατε τῷ διδασκάλῳ τῆς ἀληθείας· πιστεύσατε τῷ τὴν σωτηρίαν ὑμῖν δεικνύοντι· πιστεύσατε Ἰησοῦν· πιστεύσατε ἐπὶ τῷ γεννηθέντι Χριστῷ ἵνα οἱ γεννηθέντες διὰ τῆς αὐτοῦ ζωῆς ζήσωσιν· ὃς καὶ νήπιος ἐγένετο καὶ ἀνετράφη καὶ τέλειος γέγονεν ἄνθρωπος, ἵνα καὶ τὸ τῶν ἀνθρώπων γένος τέλειον ποιήσῃ. ἐδίδαξεν τοὺς ἰδίους αὐτοῦ μαθητάς· καὶ γὰρ τῆς ἀληθείας αὐτός ἐστιν διδάσκαλος.

οὗτος ὁ ἀπόστολος ἐκείνου μαθητής ἐστιν. οὗτος τὸ ἐκείνου διαπράττεται θέλημα, ἐκείνου τοῦ ἀποστείλαντος αὐτὸν Ἰησοῦ. ἐλεύσονται δὲ ἀπόστολοι ψευδεῖς καὶ προφῆται τῆς ἀνομίας, ὧν τὸ τέλος πρὸς τὰς αὐτῶν γενήσεται πράξεις, κηρύσσοντες μὲν καὶ νομοθετοῦντες φυγεῖν μὲν ἀπὸ τῶν ἀσεβειῶν, αὐτοὶ δὲ πάντοτε ἐν ἁμαρτίαις ἐξεταζόμενοι· ἠμφιεσμένοι μὲν προβάτου δοράν, ἔσωθεν δὲ λύκοι τυγχάνουσιν ἅρπαγες· οἵτινες μιᾷ γυναικὶ οὐκ ἀρκούμενοι πολλὰς γυναῖκας 216 W. ἐξαφανίζουσιν· οἳ τέκνων λέγοντες καταφρονεῖν πολλοὺς παῖδας ἀπόλλουσιν· οἳ τὴν τιμωρίαν δίδωσιν· οἱ μὴ ἐπαρκούμενοι τῇ ἑαυτῶν κτήσει· καὶ ἐν μὲν τῷ στόματι αὐτῶν ἄλλα φθέγγονται, τῇ δὲ καρδίᾳ αὐτῶν ἕτερα ἐνθυμοῦνται· τοῖς ἄλλοις μὲν παρακελευόμενοι ἀσφαλίζεσθαι ἀπὸ τῶν πονηριῶν, αὐτοὶ δὲ οὐδὲν ἀγαθὸν διαπράττονται. οἳ σώφρονες μὲν ὀνομάζονται εἶναι καὶ τοῖς ἄλλοις οὕτως ἔχειν παρακελεύονται, λάθρα δὲ αὐτοὶ τοῖς αὐτοῖς κακοῖς ἐμπίπτειν οὐ παύονται.‘

1 τάχειον P ‖ 3 ἐκφάναι P ‖ 4 εὐδ. om syr ‖ 6 scr σε? | ἀφίσει P ‖ 8 ἄρξε P | scr σου | ἀκούει Usener ‖ 14 scr ταύτην? ‖ 15 ἐνθυμῆσαι P ‖ 18-19 cf syr ‖ 21 ποιήσει sup scr η P ‖ 23 μαθ. om syr ‖ 27 μὲν del? ‖ 31 ὧν τ. τ. δώσουσιν syr ‖ 35 ὠνομάζονται P

ταῦτα πάντα τοῦ ὀνάγρου εἰπόντος ἐξεπλάγησαν ἅπαντες· σιγήσαντος δὲ τοῦ ὀνάγρου λέγει ὁ ἀπόστολος·

‚τί ἐνθυμηθῶ περὶ τῆς σῆς εὐπρεπείας, Ἰησοῦ; μᾶλλον δὲ τί εἴπω; οὐ γὰρ δεδύνημαι ταῦτα, Χριστέ, ἐξειπεῖν, ἀναπεπαυμένε καὶ μόνε σοφέ, ὁ τὰ ἐγκάρδια πάντων γινώσκων καὶ τοὺς λογισμοὺς ἐπιστάμενος· σοὶ δόξα, ἐλεῆμον καὶ ἤρεμε· σοὶ δόξα, λόγε σοφέ· δόξα τῇ σῇ εὐσπλαγχνίᾳ τῇ ἡμῖν ἐπικυηθείσῃ· δόξα τῷ ἐλέει σου τῷ ἐφ' ἡμᾶς ἁπλωθέντι· δόξα τῇ μεγαλωσύνῃ σου τῆς εἰς ἡμᾶς σμικρυνθείσης· δόξα τῇ ὑψίστῳ αὐτοῦ βασιλείᾳ ἣν δι' ἡμᾶς ἐταπείνωσας· δόξα τῇ ἰσχύι σου ἣν δι' ἡμᾶς ἠλάττωσας· δόξα τῇ θεότητί σου ἣν ὀφθῆναι
217 W. εἰς ἡμᾶς τοὺς ἀνθρώπους ἠξίωσας· δόξα τῇ ἀνθρωπότητί σου, ἥτις δι' ἡμᾶς ἀπέθανεν ἵνα ἡμᾶς ζωοποιήσῃ· δόξα τῇ ἀναστάσει σου τῆς ἀπὸ τῶν νεκρῶν εἰς ἡμᾶς ἐπιδημησάσης· διὰ γὰρ ταύτης ἔγερσις καὶ ἀνάπαυσις ταῖς ψυχαῖς ἡμῶν γίνεται· δόξα καὶ εὐφημία τῇ ἀνόδῳ σου τῇ ἐπὶ τοὺς οὐρανούς· δι' αὐτῆς γὰρ ἡμῖν τὴν ἄνοδον τοῦ ὕψους ὑπέδειξας καὶ ἐκ δεξιῶν σου καθεσθῆναι ἐπαγγειλάμενος τὰς δώδεκα μετὰ σοῦ κρῖναι φυλὰς τοῦ Ἰσραήλ.

σὺ εἶ ὁ ἐπουράνιος λόγος τοῦ πατρός· σὺ εἶ τὸ ἀπόκρυφον φῶς τοῦ λογισμοῦ, ὁ τὴν ὁδὸν ἡμᾶς τῆς ἀληθείας ὑποδεικνύων, ὃς καὶ διώκτης οἶδας τυγχάνειν τοῦ σκότους, καὶ τῆς πλάνης πάντας ἡμᾶς ἀπελαύνων.'

ταῦτα εἰπὼν ὁ ἀπόστολος ἐπέστη ταῖς γυναιξὶν λέγων·

‚κύριέ μου καὶ θεέ μου· οὐ διαιροῦμαι ἀπὸ σοῦ οὐδὲ ἀπιστῶν ἐπικαλοῦμαί σε, πάντοτε ἡμῶν ὄντα σε βοηθὸν καὶ ἐπίκουρον· ὁ τὴν ἑαυτοῦ δύναμιν ἐμπνέων ἡμῖν καὶ παραθαρσύνων ἡμᾶς καὶ παρρησίαν παρέχων ἐν ἀγάπῃ τοὺς ἰδίους σου δούλους· δέομαί σου, ἀνάστησον τὰς γυναῖκας ταύτας, καὶ τὴν προτέραν αὐτὰς δώρησαι ὑγείαν πρὸ τοῦ ταύτας ἐκ τῶν δαιμόνων πληγῆναι.'

ταῦτα δὲ αὐτοῦ εἰπόντος στραφεῖσαι αἱ γυναῖκες ἐκαθέσθησαν. καὶ παρεκελεύσατο τῷ στρατηλάτῃ ὁ ἀπόστολος ἵνα οἱ τούτου θεράποντες τῇ τε γυναικὶ καὶ τῇ θυγατρὶ λαβόντες αὐτοῦ εἰς τὸν οἰκεῖον αὐτὰς κοιτῶνα ἀπάγωσιν. τούτου δὲ γενομένου λέγει τοῖς ὀνάγροις ὁ ἀπόστολος· ‚ἀκολουθήσατέ μοι.' καὶ ἀπελθὼν μετ' αὐτῶν ἕως ἔξω

---

6 σὺ utroq loco P | ἐλεῆμων P ‖ 8 scr τῇ — σμικρυνθείσῃ? cf 12 ‖ 9 τῇ ὑψιστείᾳ σου (om βασ.) syr ‖ 12 τῆς] scr τῇ? | εἰς ἡμ. ἐπιδ. aut delend aut transferend uid ‖ 16 καὶ post ἐπαγγ. ponend? del Vsener ‖ 19 ἡμᾶς om syr ‖ 23 ἀπιστῶ ἀλλ' syr ‖ 24 σε cf 52, 36 ‖ 26 scr τοῖς ἰδίοις σ. δούλοις? ‖ 27 scr αὐταῖς? cf 52, 30 ‖ 31 τῇ τε — θυγ. et αὐτοῦ om syr ‖ 32 scr ἀπαγάγωσιν? | λεγομένου (sed del λ et γ sup scr γ et ν) P

τῶν πυλῶν εἶπεν αὐτοῖς· ‚ἀπέλθετε μετ᾽ εἰρήνης ἐπὶ τὰς νομὰς ὑμῶν.‘ 218 W.
ἀπῄεσαν οὖν οἱ ὄναγροι προθύμως, ἔστη δὲ ὁ ἀπόστολος προσέχων αὐτοῖς ἵνα μὴ ὑπό τινος ἀδικηθῶσιν, ἕως ὅτε πόρρω γενόμενοι ἀφανεῖς ἐγένοντο· ὑπέστρεψεν δὲ σὺν τῷ ὄχλῳ ὁ ἀπόστολος εἰς τὴν οἰκίαν τοῦ στρατηλάτου.

(περὶ τῆς γυναικὸς Χαρισίου πρᾶξις θ′)

ἔτυχεν δὲ γυναῖκά τινα, Χαρισίου τοῦ ἔγγιστα τοῦ βασιλέως, ᾗ ὄνομα Μυγδονία, ἦλθεν ἐπὶ τὸ θεάσασθαι καὶ ἰδεῖν τὸν ἀπόστολον τοῦ νέον θεὸν καταγγέλλοντος καὶ νέον ἀπόστολον τῇ αὐτῶν ἐπιδημήσαντα χώρᾳ· ἐφέρετο δὲ ὑπὸ τῶν ἰδίων δούλων· καὶ διὰ τὸν πολὺν ὄχλον καὶ τὴν στενοχωρίαν οὐκ ἠδύναντο αὐτὴν εἰσαγαγεῖν πρὸς αὐτόν.

ἔπεμψε δὲ πρὸς τὴν ἰδίαν γαμετὴν τοῦ στρατηλάτου ἵνα πέμψῃ τινὰς πρὸς αὐτὴν ἵνα ταύτην πρὸς τὸν ἀπόστολον εἰσαγάγωσιν. ἐλθόντες δὲ καὶ ταύτην λαβόμενοι ἔτυπτον τὸν ὄχλον ἐπὶ τὸ τόπον τὴν Μυγδονίαν ποιῆσαι. ἰδὼν δὲ ὁ ἀπόστολος εἶπεν αὐτοῖς· ‚τίνος ἕνεκεν τύπτετε τοὺς ἐρχομένους ἀκοῦσαι τὸν λόγον, οἳ καὶ προθυμίαν ἔχουσι τοῦτον ἀκοῦσαι; μὴ οὕτως, ἀδελφοί μου, ποιεῖτε. ὑμεῖς βούλεσθε 219 W.
παρ᾽ ἐμοὶ μὲν εἶναι, πόρρω τυγχάνοντες, καθὼς εἴρηται ἐπὶ τοῦ ὄχλου τοῦ πρὸς τὸν κύριον ἐρχομένου, ὅτι ὀφθαλμοὺς μὲν ἔχοντες βλέπετε, καὶ ὦτα ἔχοντες ἀκούετε· καὶ ἔλεγε πρὸς τοὺς ὄχλους· ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω· καί· δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.‘

ἀπιδὼν δὲ πρὸς τοὺς βαστάζοντας αὐτὴν εἶπεν αὐτοῖς· ‚οὗτος ὁ μακαρισμὸς καὶ ἡ παραίνεσις περὶ ὑμῶν εἴρηται, οἵτινες δυσβάστακτα φορτία βαστάζειν εἰδότες τῷ πλησίῳ κρίνειν οὐ παύετε, οὐδὲ συνιεῖτε ὅτι καὶ αὐτὸς ὁμοιοπαθεῖς ὑμῶν εἰσιν ἄνθρωποι καὶ μιᾶς ἑκάτεροι τυγχάνετε φύσεως. καὶ ὥσπερ τοῖς ζῴοις σοβαρῶς οἴδατε τούτοις φορτώνειν καὶ ἐπαχθῆ ἀνελεημόνως παρέχειν φορτία, οὕτως καὶ πρὸς τοὺς ὁμοφύλους ὡς ἔφαμεν ἀνθρώπους ποιεῖν, κἄν τε δοῦλοι τῷδε

---

2 ἀπίεσαν P ‖ 3 γενώμενοι P ‖ 7 Χαρ.] add γαμετήν? ‖ 8 scr ἐλθεῖν? | τ. ἀπ.] scr τὸ πρόσωπον? ‖ 10 ἔρετο uoc ἐφέρετο in ras P | τὸν] ex τῶν corr P ‖ 15 scr ταύτης? ‖ 15-16 scr τῇ Μυγδονίᾳ? ‖ 20-21 οὐ βλέπετε et οὐκ ἀκούετε syr ‖ 24 ισ uoc αὐτοῖσ in ras P ‖ 26 tota oratio usque 56, 17 miser ecorrupta et mutilata est: cf syr. non attinet singula persequi ‖ 27 scr αὐτοὶ | ὑμῖν Vsener ‖ 30 τῷδε] ἐν τῷδε cf 56, 9 Vsener

τῷ βίῳ εἰσὶν κἄν τε ἐλεύθεροι, κἄν τε πλούσιοι καὶ πένητες· καὶ οὐ τὰ καθ' ἑαυτῶν πρότερον ἐννοῶμεν οἷα καὶ ὅσα εἰσὶν καὶ τῆς ἐκεῖ περὶ τούτων ἐπιμιμνήσκεσθαι δίκης, ἀλλὰ τὰ τοῦ πέλας κρίνειν μάλα εἰδότες τὰ οἰκεῖα περιστέλλειν εἰώθαμεν.

220 W. τούτων οὖν πάντων ἀπέχεσθαι παρακαλῶ, οἷον πορνείαν, μοιχείαν, ἀκαθαρσίαν, πλεονεξίαν, φιλαργυρίαν καὶ πᾶν ὅ τι καὶ παραβλάπτειν τὴν ψυχὴν ὑμῶν οἴδατε. καὶ γίνεσθε ἀγαθοί, οἰκτίρμονες, ἐλεήμονες, ἀμνησίκακοι, φιλόπτωχοι, δίκαιοι, εἰρηνικοί, μετὰ πάσης
221 W. τῆς πραότητος ἐν τῷδε ζῶντες τῷ βίῳ. καὶ γὰρ εἴ τις τὴν τοιαύτην ἔχει πραότητα, τὸν ἐχθρὸν καταδουλοῦται· ἀλλὰ καὶ ἡ πραότης ζυγὸς ταύτης ἐστὶν ἀγαθός· ἡ πραότης οὐδένα φοβεῖται καὶ τοῖς πολλοῖς οὐκ ἐναντιοῦται· ἡ πραότης εἰρήνη ἐστὶν καὶ χαρὰ καὶ ἀγαλλίασις τῆς ἀναπαύσεως· μείνατε οὖν ἐν τῇ ἁγιωσύνῃ καὶ δέξασθε τὴν ἀμεριμνίαν, καὶ ἐγγὺς γενήσεσθε τῆς πραότητος. ἐν γὰρ τούτοις τοῖς τρισὶ κεφαλαίοις εἰκονογραφεῖται ὁ Χριστὸς ὃν ἐγὼ ὑμῖν καταγγέλλω. ἡ ἁγιωσύνη ναός ἐστιν τοῦ Χριστοῦ, καὶ ὁ οἰκῶν ἐν αὐτῇ οἰκητήριον κτᾶται αὐτόν· τεσσαράκοντα γὰρ ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐνήστευσεν μηδενὸς γευσάμενος· καὶ ὁ ταύτην φυλάττων ἐν αὐτῇ οἰκήσει ὡς ἐν ὄρει. ἡ δὲ πραότης καύχημα αὐτοῦ ἐστιν· εἶπεν γὰρ Πέτρῳ τῷ συναποστόλῳ ἡμῶν· ἀπόστρεψον τὴν μάχαιράν σου
222 W. εἰς τὰ ὀπίσω καὶ ἀποκατάστησον εἰς τὴν θήκην αὐτῆς· εἰ γὰρ ἤθελον τοῦτο ποιῆσαι, ἠδυνάμην πλείονας τῶν δώδεκα λεγεώνων λαβεῖν ἀγγέλων ἐκ τοῦ ἐμοῦ πατρός.'

ταῦτα τοῦ ἀποστόλου εἰπόντος παντὸς τοῦ ὄχλου ἀκούοντος ἀλλήλοις θλίβοντες συνεπάτουν· ἡ δὲ γυνὴ Χαρισίου τοῦ συγγενοῦς τοῦ βασιλέως ἐκπηδήσασα ἐκ τοῦ δίφρου καὶ ἑαυτὴν ἔμπροσθεν τοῦ ἀποστόλου ἐπὶ τῆς γῆς ῥίψασα καὶ τῶν ποδῶν αὐτοῦ ἁπτομένη ἔλεγεν· ,μαθητὰ τοῦ θεοῦ τοῦ ζῶντος, ὁ εἰς ἔρημον χώραν ἐλθών· ἔρημον γὰρ βίον οἰκοῦμεν· ζῴοις γὰρ ἀλόγοις ἐοίκαμεν τῇ ἡμῶν ἀναστροφῇ· διὰ τῶν σῶν δὲ τὰ νῦν χειρῶν σωθησόμεθα· δέομαι οὖν σοι, φρόντισόν μου καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα ἡ εὐσπλαγχνία τοῦ ὑπὸ σοῦ καταγγελλομένου θεοῦ γένηται ἐπ' ἐμέ, κἀγὼ γένωμαι αὐτοῦ οἰκητήριον καὶ καταλλαγῶ ἐν τῇ εὐχῇ καὶ τῇ ἐλπίδι καὶ τῇ πίστει αὐτοῦ, καὶ δέξομαι κἀγὼ σφραγῖδα καὶ γένωμαι ναὸς ἅγιος, καὶ

---

1 scr ὦσιν? | καὶ π.] scr κἄν τε π. ‖ 2 ἐννοεῖν Usener ‖ 5 πορνίαν P ‖ 11 ταύτης om syr ‖ 13 τ. ἀν.] καὶ ἀνάπαυσις syr ‖ 14 ἀμερ.] ἐγκράτειαν syr ‖ 15 εἰκονογραφῆται P ‖ 16-17 cf syr ‖ 17 intercidit temperantiae mentio ‖ 20 μάχαιρά P ‖ 25 scr ἀλλήλους? | συγ uoc συγγενοῦς in ras P ‖ 30 τιθασευόμεθα syr ‖ 31 scr σου ‖ 32 et 34 γένομαι P ‖ 34 leg δέξωμαι?

κατοικήσει ἐν ἐμοὶ αὐτὸς ὁ θεὸς ὁ καὶ παρὰ σοῦ ἡμῖν κηρυττόμενος.‘ καὶ ὁ ἀπόστολος εἶπεν· ‚εὔχομαι καὶ δέομαι ὑπὲρ ὑμῶν πάντων τῶν εἰς τὸν κύριον ἠλπικότων καὶ πιστευσάντων ἵνα εἰς πάντας κατασκηνώσει ὁ λόγος τοῦ θεοῦ καὶ ἐν αὐτοῖς ἐνσκηνώσει.‘ καὶ ἤρξατο λέγειν πρὸς τὴν γυναῖκα Μυγδονίαν· ‚ἀνάστα ἀπὸ τῆς γῆς καὶ ἀποκόσμησον σεαυτήν· οὐδὲ γὰρ ὁ κόσμος ὃν φορεῖς ὠφελήσει σοι, 223 W. οὐδὲ τὸ κάλλος ὡσαύτως τοῦ σώματός σου, οὔτε ἡ περὶ σὲ τοῦ ἀξιώματος φήμη, οὔτε τοῦ κόσμου ἡ ἐξουσία, οὔτε ἡ κοινωνία ἡ ῥυπαρὰ ἡ πρὸς τὸν σὸν ἄνδρα γινομένη· καὶ γὰρ αὕτη ἀποστερεῖ ἀπὸ τῆς κοινωνίας τῆς ἀληθινῆς· ἀλλὰ μένειν ἀεὶ ἐν ἁγνείᾳ καὶ καθαρᾷ συνειδήσει, εἰς ὅντινα καὶ βίον ὁ θεὸς ἐπαναπαύεσθαι οἶδεν.‘

ταῦτα εἰπὼν ὁ ἀπόστολος λέγει πρὸς τὴν γυναῖκα· ‚ἄπελθε ἐν εἰρήνῃ, καὶ ὁ κύριος τῶν ἰδίων μυστηρίων ἀξίαν σε ποιήσει‘. ἣ δὲ εἶπεν· ‚φοβοῦμαι ἀπελθεῖν, μή πώς με καταλείψας εἰς ἕτερον ἔθνος ἀπέλθῃς.‘ ὁ δὲ ἀπόστολος εἶπεν αὐτῇ· ‚κἂν ἐγὼ πορευθῶ, οὐ καταλείψω σε μόνην, ἀλλ᾽ ὁ κύριος μετὰ τῆς αὐτοῦ χάριτος καὶ εὐσπλαγχνίας ἔστω μετὰ σοῦ.‘ ἣ δὲ πεσοῦσα προσεκύνησεν αὐτὸν καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτῆς.

Χαρίσιος δὲ ὁ συγγενὴς Μισδαίου τοῦ βασιλέως λουσάμενος ἀνῆλθεν καὶ ἀνεκλίθη δειπνῆσαι. ἐξήταζεν δὲ περὶ τῆς ἰδίας αὐτοῦ γαμετῆς τὸ τί γέγονεν· οὐ γὰρ ἐληλύθη ὡς εἴωθεν εἰς ἀπάντησιν αὐτοῦ ἀπὸ τοῦ ἰδίου κοιτῶνος· αἱ δὲ θεραπαινίδαι αὐτῆς εἶπον αὐτῷ· ‚ἀνωμάλως ἔχει.‘ ὃ δὲ εἰσπηδήσας εἰσῆλθεν εἰς τὸν κοιτῶνα αὐτῆς καὶ εὗρεν αὐτὴν κατὰ κλίνης κειμένην· καὶ ἀνακαλύψας αὐτὴν κατεφίλησεν αὐτὴν λέγων· ‚τίνος ἕνεκεν σήμερον περίλυπος εἶ;‘ ἣ δὲ εἶπεν· ‚ἀνωμάλως ἔχω.‘ ὁ δὲ Χαρίσιος λέγει πρὸς αὐτήν· ‚διὰ τί γὰρ σχῆμα οὐκ ἐποίησας τῆς σῆς ἐλευθερίας καὶ ἔμεινας ἐν τῷ οἴκῳ 224 W. σου, ἀλλ᾽ ἀπελθοῦσα κατήκουσας λόγων ματαίων καὶ ἔργα μαγικὰ ἐθεάσω; ἀνάστα, συνδείπνησόν μοι· ἄνευ γὰρ σοῦ δειπνῆσαι οὐ δύναμαι.‘ ἣ δὲ εἶπεν πρὸς αὐτόν· ‚σήμερον παραιτοῦμαι· πάνυ γὰρ πεφόβημαι.‘

ταῦτα ἀκούσας ὁ Χαρίσιος παρὰ τῆς Μυγδονίας οὐκ ἠβουλήθη δειπνῆσαι· παρεκελεύσατο δὲ τοῖς οἰκείοις αὐτοῦ συνδειπνῆσαι αὐτῷ ταύτην παρακαλέσαι· ἣ δὲ παρῃτεῖτο. μὴ βουληθείσης οὖν μόνος

---

1 leg κατοικήσῃ? | ἐ uoc ἐμοὶ in ras P ‖ 5 scr γυναῖκα· ‚Μυγδονία, ἀν.? sed cf 58, 38 ‖ 6 et 7 scr οὔτε? ‖ 6 ὀφελήσει P ‖ 10 ἀεὶ] scr δεῖ? ‖ 17 scr ἔσται? ‖ 21 leg ἐληλύθει? | scr εἰώθει? ‖ 29 δειπνίσαι P ‖ 33 cf syr ‖ 33 et 58, 1 δειπνίσαι P ‖ 33 et 58, 2 συνδειπνίσαι P ‖ 34 παρητῆτο P

ἐδείπνησεν λέγων αὐτῇ· ‚διὰ σὲ παραιτησάμην δειπνῆσαι μετὰ τῷ βασιλεῖ Μισδαίῳ, καὶ σὺ οὐκ ἠβουλήθης συνδειπνῆσαί μοι.‛ ἡ δὲ ἔφη· ‚διὰ τὸ ἀνωμάλως ἔχειν ἐμέ, τούτου χάριν οὐ βούλομαι.‛ ἀναστὰς οὖν κατὰ τὸ εἰωθὸς ὁ Χαρίσιος ἠβούλετο συγκαθευδῆσαι αὐτῇ· ‚οὐκ εἶπόν σοι· τὴν σήμερόν με ἔασον;‛

ταῦτα ἀκούσας εἰς ἄλλην ἀπελθὼν κλίνην ἐκοιμήθην· ἐγερθεὶς δὲ ἐκ τοῦ ὕπνου εἶπεν· ‚κυρία μου Μυγδονία, ἄκουσον τοῦ ὀνείρου τοῦ ὀφθέντος μοι. εἶδον ἑαυτὸν ἀνακεκλιμένον ἐγγὺς Μισδαίου τοῦ βασιλέως, καὶ παρέκειτο ἡμῖν πανδέκτης· καὶ εἶδον ἀετὸν κατελθόντα ἀπ' οὐρανοῦ καὶ ἁρπάσαντα ἀπ' ἔμπροσθεν ἐμοῦ τε καὶ τοῦ βασιλέως
225 W. πέρδικας δύο, ἃς καὶ εἰς τὴν αὐτοῦ καρδίαν εἰσήνεγκεν· καὶ πάλιν ἐπέστη ἐφ' ἡμᾶς περιιπτάμενος ἐπάνω ἡμῶν· ἥρπαξεν δὲ πάλιν ἀπ' ἔμπροσθεν ἡμῶν περιστερὰν καὶ τρυγόνα. ὁ δὲ βασιλεὺς ἐξέπεμψεν κατ' αὐτοῦ βέλος· καὶ διῆλθεν ἀπὸ πλευρὰν εἰς πλευράν, καὶ οὐδὲν κἀκεῖνον ἠδίκησεν· ὃ δὲ μηδὲν ἀδικηθεὶς ὑψοῦτο εἰς τὴν ἰδίαν καλιάν. καὶ διυπνισθεὶς ἐγὼ ἔμφοβός εἰμι τοῦ πέρδικος ὅτι οὐ συνεχώρησέν μοι τοῦτον τῷ στόματί μου προσαγαγεῖν.‛ ἡ δὲ Μυγδονία ἔφη πρὸς αυτόν· ‚ὁ ὄνειρός σου καλός ἐστιν· σὺ γὰρ καθ' ἡμέραν πέρδικας ἐσθίεις, ὁ δὲ ἀετὸς οὗτος οὐκ ἦν γευσάμενος πέρδικος ἕως τοῦ νῦν.‛

ὄρθρου δὲ γενομένου ἀπελθὼν ὁ Χαρίσιος ἐνεδύσατο, καὶ τὸ ἀριστερὸν ὑπόδημα εἰς τὸν δεξιὸν πόδα ὑπεδύσατο. καὶ ἐπισχὼν πρὸς τὴν Μυγδονίαν εἶπεν· ‚τί ἄρα τοῦτό ἐστιν τὸ πρᾶγμα; ἰδοὺ γὰρ κατὰ τὸν ὄνειρον καὶ ἡ τούτου πρᾶξις.‛ εἶπεν δὲ αὐτῷ ἡ Μυγδονία· ‚οὐδὲ τοῦτο φαῦλόν ἐστιν, ἀλλὰ κάλλιστον καὶ τοῦτό μοι δοκεῖ· ἀπὸ γὰρ φαύλου πράγματος εἰς κρεῖττον μεταβήσεται.‛

ὃ δὲ νιψάμενος τὰς χεῖρας εἰς ἀσπασμὸν Μισδαίου τοῦ βασιλέως ἀπῄει. ὁμοίως καὶ ἡ Μυγδονία ὀρθρίσασα ἀπῄει εἰς ἀσπασμὸν Ἰούδα Θωμᾶ τοῦ ἀποστόλου. κατέλαβεν δὲ αὐτὸν ὁμιλοῦντα μετὰ τοῦ στρατηλάτου καὶ παντὸς τοῦ ὄχλου· καὶ παρῄνει αὐτοῖς λέγων περὶ τῆς γυναικὸς τῆς δεξαμένης τὸν θεὸν ἐν τῇ αὐτῆς ψυχῇ. καὶ ὁ στρατηλάτης· ‚καὶ τίνος αὕτη γυνή;‛ λέγει ὁ ἀπόστολος· ‚Χαρισίου
226 W. συγγενοῦς Μισδαίου τοῦ βασιλέως.‛ καὶ ὁ στρατηλάτης· ‚ὁ ἀνὴρ αὐτῆς σκληρός ἐστιν καὶ εἴ τι δἂν καὶ τῷ βασιλεῖ εἴπῃ, πείθεται

---

1 ἐδείπνισεν P | scr παρῃτησάμην? cf 32, 31 ‖ 1-2 scr δειπν. μ. τοῦ βασιλέως Μισδαίου? an συνδειπν. τ. β. M.? ‖ 5 ἡ δὲ εἶπεν αὐτῷ add syr ‖ 11 καλιὰν syr ‖ 12 περὶ ἠπτάμενος P ‖ 12-13 ἀπεπροσθεν P ‖ 13 τρυγῶνα P ‖ 14 scr πλευρᾶς ‖ 22 scr ὑπεδήσατο ‖ 28 utroq loco ἀπίει P ‖ 32 cf syr cum 63, 12 ‖ 33 στρατηλ in ras P ‖ 34 δ' ἂν P | εἴπει P

τούτῳ· ἀλλ' οὐδὲ συγχωρεῖ αὐτὴν παραμεῖναι τῇ γνώμῃ ᾗ ὡμολόγησεν· καὶ ἐπὶ τοῦ βασιλέως δὲ πολλάκις ἐνεκωμίασεν αὐτὴν λέγων μὴ εἶναι ἄλλην τοιαύτην εἰς ἀγάπην.' εἶπεν δὲ ὁ ἀπόστολος· ,εἰ ἀληθῶς καὶ βεβαίως ἀνέτειλεν ὁ κύριος εἰς τὴν ταύτης ψυχὴν καὶ προσεδέξατο τὸν καταβληθέντα σπόρον, οὔτε τῆς προσκαίρου ζωῆς φροντίδα ποιήσειεν οὔτε τὸν θάνατον φοβηθήσεται οὔτε Χαρίσιός τι ταύτην καταβλάψαι δυνήσηται· μείζων γάρ ἐστιν ἐκεῖνος ὃν ὑπεδέξατο εἰς τὴν ἰδίαν ψυχήν, εἰ ἄρα γε καὶ ἀληθῶς αὐτὸν ὑπεδέξατο'.

ταῦτα δὲ ἀκούσασα Μυγδονία εἶπεν τῷ ἀποστόλῳ· ,ἀληθῶς, κύριέ μου, ἐδεξάμην τῶν σῶν λόγων τὸν σπόρον, καὶ καρποὺς καλοὺς τοῦ τοιούτου σπόρου ἀποκυήσω.' λέγει ὁ ἀπόστολος· ,ἐξομολογοῦνταί σοι, κύριε, καὶ εὐχαριστοῦσίν σοι αἱ παρεστῶσαι πᾶσαι ψυχαί· εὐχαριστοῦσίν σοι οὕστινας καὶ κατηξίωσας γενέσθαι οἰκητήρια τῆς ἐπουρανίου σου δωρεᾶς.' εἶπεν δὲ καὶ πᾶσι τοῖς παρεστῶσιν· ,μακάριοι οἱ ἅγιοι ὧν οὐδέποτε αἱ ἑαυτῶν ψυχαὶ κατεγνώσθησαν· οὐ γὰρ καθ' ἑαυτῶν οἴδασι διαιρεῖσθαι· μακάρια τὰ πνεύματα τῶν ἁγίων τὰ καὶ ὁλόκληρον τὸν ἐπουράνιον δεξάμενα στέφανον· μακάρια τὰ σώματα τῶν ἁγίων, ὅτι κατηξιώθησαν ναοὶ θεοῦ γενέσθαι, ἵνα Χριστὸς ἐν αὐτοῖς 227 W.
ἐνοικῇ· .μακάριοί ἐστε ὅταν ἐξουσίαν ἔχετε ἀφιέναι ἁμαρτίας· μακάριοί ἐστε ἐὰν τὸ δοθὲν ὑμῖν τάλαντον μὴ κατορύξητε ἀλλὰ πολυπλάσιον τῷ παρέξαντι συναναφέρητε.'

ταῦτα εἰπόντος τοῦ ἀποστόλου παντὸς τοῦ ὄχλου ἀκούοντος ἡ Μυγδονία πλεῖον μᾶλλον ἐστηρίζετο τῇ πίστει καὶ τῇ μεγαλειότητι τοῦ Χριστοῦ.

Χαρίσιος δὲ ὁ τοῦ βασιλέως συγγενής τε καὶ φίλος ἐλθὼν ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ μὴ εὑρὼν τὴν αὐτοῦ γυναῖκα πάντας περὶ ταύτης τοῦ οἴκου ἐξήταζεν· ἀποκριθεὶς δὲ εἷς ἐξ αὐτῶν εἶπεν ὅτι ,πρὸς τὸν ξένον ἐκεῖνον ἀπῆλθεν.' ὁ δὲ ταῦτα ἀκούσας παρὰ τοῦ δούλου αὐτοῦ ἠγανάκτησεν πρὸς τοὺς ἑτέρους αὐτοῦ οἰκείους, ὅτι οὐκ εὐθὺς καὶ παραυτὰ τοῦτο αὐτῷ ἀνήγγειλαν. καὶ καθεσθεὶς ταύτην ἐξεδέχετο. 228 W.
ἑσπέρας δὲ γενομένης εἰσιούσης αὐτῆς ἐν τῷ οἴκῳ λέγει αὐτῇ· ,ποῦ ἦς;' ἡ δὲ ἀποκριθεῖσα εἶπεν· ,εἰς τὸν ἰατρόν.' ὁ δὲ εἶπεν· ,ἐκεῖνος ὁ ξένος ἰατρός ἐστιν;' ,ναί, ἰατρός ἐστιν ψυχῶν· οἱ γὰρ πολλοὶ τῶν ἰατρῶν σώματα ἰατρεύουσιν τὰ λυόμενα, οὗτος δὲ ψυχὰς τὰς μὴ φθειρομένας.'

---

2 ἐνεκομίασεν et ante κ sup scr γ P ‖ 6 scr ποιήσει? an ποιήσεται? ‖ 7 scr δυνήσεται? | μεῖζον P ‖ 16 αἱ αὐτῶν ψ. Usener ‖ 20 ἐνοικεῖ P | scr ὅτι? ‖ 21 ἐ uoc ἐᾶν (sic) in ras P | κατωρύξηται P

ταῦτα ἀκούσας ὁ Χαρίσιος πάνυ πρὸς τὴν Μυγδονίαν ἐχαλέπαινεν διὰ τὸν ἀπόστολον· οὐδὲν δὲ αὐτῇ ἀποκριθῆναι ἠδύνατο· βελτία γὰρ αὐτοῦ ὑπῆρχεν τῇ τε γνώμῃ καὶ τῷ πλούτῳ. ἀπῆλθεν δὲ κἀκεῖνος ἐπὶ τὸ δειπνῆσαι, καὶ Μυγδονία ἐπὶ τὸν κοιτῶνα αὐτῆς. ὁ δὲ Χαρίσιος τοῖς αὐτοῦ εἶπεν οἰκέταις· ‚καλέσατε αὐτὴν ἐπὶ τὸ δειπνῆσαι'. ἡ δὲ οὐκ ἐβούλετο.

ἀκούσας δὲ τοῦτο ὁ Χαρίσιος ἀπελθὼν λέγει αὐτῇ· ‚τίνος ἕνεκεν οὐ βούλει μεθ' ἡμῶν συνδειπνῆσαι; καὶ γὰρ μείζονα ἐπὶ τούτῳ μοι τὴν ὑποψίαν ποιεῖς· ἤκουσα γὰρ ὅτι ὁ πλάνος ἐκεῖνος τοῦτο διδάσκει, ἵνα μή τις γυναικὶ προσομιλήσῃ ἰδίᾳ, καὶ ὃ ἡ φύσις ἀπαιτεῖν οἶδεν
229 W. καὶ θεὸς ἐνομοθέτησεν αὐτὸς ἀνατρέπει.' ἡ δὲ Μυγδονία ἡσύχαζεν τοῦ Χαρισίου ταῦτα εἰπόντος.

λέγει πάλιν πρὸς αὐτὴν ὁ Χαρίσιος· ‚κυρία μου Μυγδονία, μὴ τοῖς ἀπατηλοῖς ἐκείνου ἀπατῶ λόγοις καὶ ματαίοις, μηδὲ τοῖς ἔργοις τῆς μαγείας οἷς ἤκουσα δι' αὐτοῦ πραττομένοις εἰς ὄνομα πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος· οὐ γὰρ ἠκούσθη ἐν τῷ κόσμῳ τούτῳ ὅτι νεκρόν τις ἤγειρεν. καὶ ὅτι οὐδὲ ἐσθίει οὐδὲ πίνει, μὴ οὖν νομίσῃς ὅτι διὰ δικαιοσύνην οὔτε ἐσθίει οὔτε πίνει· τοῦτο δὲ ποιεῖ διὰ τὸ μηδὲν κεκτῆσθαι αὐτόν· τί γὰρ ἂν ποιήσῃ, μηδὲ αὐτὸν τὸν ἡμερήσιον κεκτημένος ἄρτον; ἀλλὰ καὶ διὰ τὸ πένητα αὐτὸν πάνυ τυγχάνειν καὶ ἓν οἶδεν ἔχειν ἱμάτιον· τὸ δὲ μὴ λαμβάνειν παρά τινός τι, καὶ τοῦτο πάντως αὐτῷ ἐδόθη συνήθεια.'

ταῦτα δὲ τοῦ Χαρισίου εἰπόντος ἡ Μυγδονία ὡς πέτρα τις ἡσύχαζεν· ηὔχετο δὲ πότε διαφαύσει, ἵνα πρὸς τὸν ἀπόστολον παραγένηται· πάνυ δὲ ὁ Χαρίσιος ἀθυμήσας ἀπέρχεται ἀπ' αὐτῆς, μάλιστα διὰ τὸ μὴ παραδέχεσθαι συγκαθευδῆσαι μετ' αὐτῆς.

ἐξελθόντος δὲ ἐκείνου κλίνασα τὰ γόνατα ηὔχετο λέγουσα· ‚κύριε θεὲ δέσποτα, πατὴρ ἐλεήμων καὶ σωτὴρ Ἰησοῦ Χριστὲ καὶ ἅγιον πνεῦμα, σὺ δός μοι δύναμιν ἵνα τὴν ἀναίδειαν Χαρισίου νικήσω, καὶ παράσχου μοι φυλάξαι τὴν ἁγιωσύνην εἰς ἣν χαίρειν οἶδας, ἵνα κἀγὼ δι' αὐτῆς εὕρω ζωὴν αἰώνιον.'

ταῦτα δὲ εὐξαμένης αὐτῆς ἔθηκεν ἐμαυτὴν ἐπὶ τὴν κλίνην. ὁ δὲ
230 W. Χαρίσιος δειπνήσας ἐβόα λέγουσα· ‚οὐ τοῦ λοιποῦ χώραν ἔχεις μετ'

---

1 ἀκ.] ἀκούσασ ἀκούσασ P ‖ 4 et 6 τῷ δειπνίσαι P ‖ 8 σὺνδειπνίσαι P | τοῦτο P ‖ 11 ἀνατρέπῃ P ‖ 15 μαγίας P ‖ 17 scr οὔτε ἐ. οὔτε π.? | scr οὐ μὴ? ‖ 19 scr ποιήσειε? (ποιήσῃ P: uoluit fort ποιήσει) ‖ 20 συνήθεια residuum uidetur sensus in ἀληθείᾳ excuntis: cf syr ‖ 32 scr ἑαυτὴν? ‖ 33 δειπνίσασ P | lacunam ante ἐβόα supple e syr

ἐμοῦ· ὁ γὰρ κύριός μου Ἰησοῦς κρείττων σού ἐστιν ὁ σὺν ἐμοὶ ὢν καὶ ἐν ἐμοὶ ἀναπαυόμενος.‘

ὁ δὲ γελάσας εἶπεν· ‚καλῶς χλευάζεις ταῦτα λέγουσα περὶ ἐκείνου τοῦ φαρμακοῦ, καὶ καλῶς αὐτοῦ καταγελᾷς λέγοντος ὅτι ζωὴν οὐκ ἔχετε παρὰ τῷ θεῷ ἐὰν μὴ παρ' αὐτοῦ ἁγνισθῆτε.‘

ταῦτα εἰπόντος αὐτοῦ ἐπεχείρει πρὸς αὐτὴν καθευδῆσαι· ἡ δὲ μὴ ὑπομένουσα ἀλλὰ πικρῶς κραυγάζουσα ἔλεγε· ‚ἐπικαλοῦμαί σε, κύριε Ἰησοῦ, μὴ ἐγκαταλίπῃς με. πρὸς σὲ γὰρ τὴν καταφυγὴν ἐποιησάμην· καὶ γὰρ ὡς ἀνέμαθον σὺ εἶ ὁ ἐπιζητῶν τοὺς ἐν ἀγνοίᾳ ἐπειλημμένους καὶ ῥυόμενος τοὺς ἐν τῇ πλάνῃ κατεχομένους· καὶ νῦν δέομαί σου οὗ τὴν φήμην ἤκουσα καὶ ἐπίστευσα, σὺ ἐλθὲ εἰς τὴν βοήθειάν μου, καὶ ῥῦσαί με ἀπὸ τῆς ἀναισχυντίας Χαρισίου, ὥστε μὴ κατεξουσιάσῃ μου ἡ τούτου μιαρότης.‘ καὶ τύψασα ἐμαυτὴν ἔφυγεν ἀπ' αὐτοῦ γυμνή· καὶ ἐξιοῦσα κατέσπασεν τὸ βῆλον τοῦ κοιτῶνος, καὶ τοῦτο περιβαλλομένη πρὸς τὴν ἑαυτῆς ἀπῄει τροφόν, κἀκεῖ παρ' αὐτῇ ὕπνωσεν.

ὁ δὲ Χαρίσιος δι' ὅλης τῆς νυκτὸς ἐν ἀθυμίᾳ ὑπῆρχεν, τὰς χεῖρας αὐτοῦ πατάσσων κατὰ τῆς ὄψεως· ἐβούλετο δὲ αὐτῇ τῇ ὥρᾳ ἀπελθεῖν καὶ πάντα τῷ βασιλεῖ ἀπαγγεῖλαι. ἔλεγεν δὲ πάλιν ἐν ἑαυτῷ· ‚ἐὰν ἡ πολλὴ ἀθυμία ἡ περὶ ἐμὲ οὖσα ἀναγκάσῃ με ἀπελ- 231 W. θεῖν ἄρτι πρὸς τὸν βασιλέα, τίς εἰσφέρει με εἰς αὐτόν; ἀλλ' ἐγὼ ἐπίσταμαι ὅτι ἡ ἀλαζονεία καὶ ἡ ὑπερηφάνειά μου εἰς ταύτην ἤγαγέ με τὴν ἀτιμίαν ἵνα ἡ ἀδελφή μου Μυγδονία τὴν εἰς ἀλλήλους κοινωνίαν ἀρνησαμένη ἀφήσει με. ἀλλ' ἀναμείνω ἕως οὗ διαφαύσει· οἶδα δὲ ὅτι εἴ τι ἂν αἰτήσω τὸν βασιλέα, παρέξει μοι. εἴπω δὲ περὶ τῆς μανίας τοῦ ξένου ἐκείνου, ὅστις τυραννίαν χρησάμενος τοὺς ἐπισήμους τῆς χώρας ἡμῶν καταβάλλει. οὐ γὰρ τοῦτό με λυπεῖ μόνον ὅτι τῆς αὐτῆς ἐστέρημαι κοινωνίας, ἀλλὰ περὶ αὐτῆς μᾶλλον λυποῦμαι, ὅτι ἡ ταύτης ἠλαττώθη ψυχή. γυνὴ εὐσχήμος οὖσα, ἣν οὐδείς πώ ποτε τῶν οἰκείων κατέγνω, γυμνὴ ἔξω τοῦ ἰδίου κοιτῶνος αὐτῆς ἔφυγεν, μὴ γινώσκων ποῦ αὕτη ἀπῆλθεν· μάλιστα κατὰ τοῦ φαρμακοῦ ἐκείνου μανεῖσα εἰς τὴν ἀγορὰν ἐξῆλθεν ζητοῦσα ἐκεῖνον.‘

καὶ ταῦτα εἰπὼν ἤρξατο ὀδυρόμενος λέγειν· ‚οὐαί μοι, κυρία μου Μυγδονία, πῶς τοῦτό μοι συνέβη ἵνα οὕτως σοι τάχιον στερηθῶ; οὐαί μοι, παντὸς γένους μόνη μοι φιληθεῖσα· οὔτε γὰρ υἱὸν οὔτε

---

1 κρεῖττον P ‖ 13 μειαρότησ P | ἐμάυτὴν P (cf 60, 32): nihil repperi probabile ‖ 15 scr περιβαλομένη? | ἀπίει P ‖ 16 παρ' αὐτῇ del Vsener ‖ 24 ἀφίσῃ P ‖ 26 μαγείας syr | scr τυραννίᾳ an τυραννίδι? ‖ 27 λυπῆ P ‖ 34 scr σου? | τάχειον P

θυγατέραν σχεῖν παρὰ σοῦ ἠξιώθην, ἵνα κἂν ἐν αὐτοῖς ἐπαναπαύσωμαι· ἀλλ' οὐδὲ πλήρης ἐνιαυτὸν κατῴκησάς μοι. ποῖος δὲ τοῦτο
232 W. βάσκανος πεποίηκεν ὀφθαλμός; ποῖος πονηρὸς τοῦτο γενέσθαι παρέπεισε δαίμων; εἴθε θάνατον μᾶλλον ταύτης ἂν εἶδον ἐγὼ ἢ τοῦτό μοι τὸ δρᾶμα γενέσθαι ἰδεῖν, καὶ μᾶλλον ὑπὸ ξένου καὶ δούλου τοῦτο συμβῆναι. οὐ μὴ τοῖς ἐμοῖς ποσὶν ἀνάπαυσιν δώσω ἕως οὗ τοῦτον καὶ τὸν ἀγαγότα αὐτὸν ὧδε ἀπολέσω· εἰ μὴ γὰρ ὁ δεινὸς ὧδε τοῦτον ἤγαγε στρατηλάτης, οὐκ ἂν ἐν τῷ ἐμῷ οἴκῳ τοῦτο συνέβη. ἀναγγείλω περὶ τούτου τῷ βασιλεῖ Μισδαίῳ· καὶ οἶδα ὅτι ὡς πάντοτέ μου ἀκούει, καὶ περὶ τούτου πάντως ποιήσει μου τὴν ἐκδίκησιν.'

ταῦτα διανοουμένου τοῦ Χαρισίου διέφαυσεν· καὶ ἐννυχεύσας ἐνεδύσατο ἐσθῆτα εὐτελῆ, καὶ ὑποδησάμενος ἀπῆλθεν . . θρωπῶς οὕτως πως τὸν βασιλέα ἀσπάσασθαι.

ἰδὼν δὲ αὐτὸν ὁ βασιλεὺς εἶπεν· ,τίνος ἕνεκεν περίλυπος εἶ καὶ ἐν τοιούτῳ σχήματι ἦλθες; ἀλλὰ καὶ τὸ πρόσωπόν σου ἐνηλλαγμένον ὁρῶ.' ὁ δὲ Χαρίσιος πρὸς τὸν βασιλέα λέγει· ,καινόν σοι ἔχω ὑφηγήσασθαι πρᾶγμα καὶ νέαν ἐρημίαν, ἣν Σιφὼρ ἤγαγεν ὁ στρατηλάτης,
233 W. Ἑβραῖόν τινα μάγον καὶ δοῦλον ἐν τῷ οἴκῳ αὐτοῦ ἀγαγών, ὃς οὐκ ἀφίσταται πάντας τοὺς τῆς χώρας ἡμῶν οἰκήτορας ἐκ τῶν ἐθῶν ἀποσπῶν καὶ τῆς ἰδίας θρησκείας, ὡσαύτως καὶ πρός τινα νέον θεὸν πιστεύειν αὐτοὺς πείθων, ἐπαγγέλλων καὶ τοῦτο, ὅτι ἐὰν μὴ ἀπαλλαγῆτε τῶν ἰδίων γυναικῶν, ὁμοίως καὶ αἱ γυναῖκες τῶν ἰδίων ἀνδρῶν, οὐ μὴ τύχητε τῆς αἰωνίου ζωῆς. ἔτυχεν δὲ καὶ τὴν κακότυχον ἐμὴν γαμετὴν πρὸς αὐτὸν ἀπελθεῖν καὶ κατήκοον γενέσθαι τοῖς λόγοις αὐτοῦ· οἷς καὶ πιστεύσασα ἀπέστη μου τῆς κοινωνίας· ἀλλὰ καὶ τῇ νυκτὶ ταύτῃ καταλιποῦσά με τῷ ξένῳ προσέδραμεν. καὶ παρακαλῶ, μεταπεμψάμενος τόν τε Σιφῶρα καὶ τὸν ἐν αὐτῷ κρυπτόμενον μάγον καὶ ἀμφοτέρους, εἰ δυνατόν, ἄνελε, ἵνα μὴ πάντες οἱ τοῦ ἔθνους ἡμῶν ἀπολοῦνται.'

ταῦτα δὲ ἀκούσας Μισδαῖος ὁ βασιλεὺς ὁ καὶ φίλος αὐτοῦ λέγει αὐτῷ· ,μὴ λυποῦ μηδὲ ἀθύμει· ἐγὼ γὰρ μεταπεμψάμενος αὐτὸν ἐκδικήσω σε, καὶ τὴν σεαυτοῦ πάλιν ἕξεις γυναῖκα.'

---

2 scr πλήρη | scr συγκατῴκησάς? ‖ 4 ἴδων P ‖ 5 post μᾶλλον lacuna? ‖ 7 scr ἀγαγόντα? cf 17, 35 ‖ 12 prius ν uoc ἐννυχεύσας ras ex μ effectum P ‖ 13 ἀπθρωπῶς (sed del ἀπ: scil ἀπῆλθεν repetiturus ipse animaduertit) P: scr σκυθρωπῶς? ‖ 20 scr τ. ἰδίων ἐθῶν? ‖ 21 scr εἰς? ‖ 27 καταλειποῦσα P ‖ 28 scr μετάπεμψαι? an 29 del καί? ‖ 31 scr ὁ συγγενὴς καὶ φ.? ‖ 32 ἀθύμη P

ἐξελθὼν δὲ ὁ βασιλεὺς ἐκαθέσθη ἐπὶ τοῦ βήματος· καθεσθέντος δὲ αὐτοῦ ἐκέλευσεν κληθῆναι τὸν Σίφορα· ἀπελθόντες δὲ εἰς τὴν οἰκίαν αὐτοῦ εὗρον αὐτὸν καθεζόμενον ἐν δεξιᾷ τοῦ ἀποστόλου, καὶ Μυγδονίαν ἐν τοῖς ποσὶν αὐτοῦ, καὶ πάντα τὸν ὄχλον αὐτοῦ κατακούοντα. καὶ προσελθόντες οἱ ἀποσταλέντες παρὰ τοῦ βασιλέως τῷ Σιφόρῳ λέγουσιν· ‚σὺ ἐνθάδε καθέζῃ ματαίων λόγων ἀκούων, καὶ Μισδαῖος ὁ βασιλεὺς ἐν τῇ αὐτοῦ ὀργῇ σκέπτεταί σε ἀπολέσαι διὰ τὸν μάγον τοῦτον καὶ πλάνον ὃν εἰσήγαγες εἰς τὸν οἶκόν σου.‘

ταῦτα ἀκούσας ὁ Σίφωρ ἠθύμησεν, οὐ διὰ τὴν πρὸς αὐτὸν τοῦ 234 W. βασιλέως ἀπειλήν, ἀλλὰ περὶ τοῦ ἀποστόλου, ὅτι ἐναντίως ἔγνω ὁ βασιλεὺς περὶ αὐτοῦ· καὶ λέγει τῷ ἀποστόλῳ· ‚ἐγὼ περὶ σοῦ λυποῦμαι· καὶ γὰρ εἶπόν σοι ὅτι ἡ γυνὴ ἐκείνη γυνή ἐστιν Χαρισίου τοῦ συγγενοῦς καὶ φίλου τοῦ βασιλέως, καὶ οὐ συγχωρεῖ αὐτὴν ποιῆσαι ὃ παρακελεύεται, καὶ πάντα ὅσα ἂν αἰτήσηται τὸν βασιλέα, ἀκούει αὐτοῦ.‘

ὁ δὲ ἀπόστολος τῷ Σιφόρῳ λέγει· ‚ἀλλὰ πίστευσον εἰς Χριστὸν τῷ ὑπὲρ ἡμῶν ἀπολογουμένῳ· καὶ γὰρ πρὸς τὴν καταφυγὴν αὐτοῦ συνηθροίσμεθα.‘ ταῦτα δὲ ὁ Σίφωρ ἀκούσας καὶ περιβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀπῄει πρὸς τὸν βασιλέα Μισδαῖον. ὁ δὲ ἀπόστολος ἐξήταζεν τὴν Μυγδονίαν διὰ τὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς γενομένην ὀργήν· ἣ δὲ ἀποκριθεῖσα εἶπεν· ‚διὰ τὸ μὴ ἔκδοτον ἐμαυτὴν ποιήσασα κατὰ τὴν προτέραν τῆς σαρκὸς κοινωνίαν· συγκαθευδῆσαι γὰρ τῇ παρελθούσῃ ἐβούλετό με νυκτί, κἀγὼ γυμνὴ εἰσπηδήσασα ἐπὶ τὴν ἐμὴν ἀπιοῦσα τροφὸν ἔμεινα· πῶς δὲ ταῦτα ἐτεχνάσατο οὐκ ἐπίσταμαι.‘

καὶ ὁ ἀπόστολος λέγει· ‚οὐ μὴ ταῦτα ἡμᾶς παραβλάψῃ· ἀλλὰ πίστευε εἰς τὸν Ἰησοῦν, καὶ αὐτὸς ἀνατρέψαι ἔχει τὴν ὀργὴν Χαρισίου καὶ τὸν τῆς μανίας οἶστρον ἐκείνου.‘ Σίφωρ δὲ παρέστη τῷ βασιλεῖ, 235 W. καὶ ἐξήταζεν αὐτὸν περὶ τοῦ ἀποστόλου τίς ἐστιν καὶ πῶς αὐτὸν εἰσήγαγεν εἰς τὸν οἶκον αὐτοῦ τοιοῦτον φαρμακὸν ὄντα καὶ μάγον.

ὁ δὲ Σίφωρ τῷ βασιλεῖ ἀπεκρίνατο· ‚οὐ μὴ ἀγνοῇς οἷόν μοι ἐν τῇ οἰκίᾳ συνέβη δεινόν, πῶς ἡ ἐμὴ ἔπαθεν γαμετή, ὡσαύτως δὲ καὶ ἡ ἡμῶν θυγάτηρ, ἣ καὶ πάσης οἶδεν τῆς κτήσεώς μου πρωτεύειν· τρεῖς γὰρ χρόνους κατὰ τὸ τοιοῦτον ἔπασχον πάθος καὶ γέλω πάσῃ τῇ ἡμῶν γέγονα χώρᾳ. τῆς φήμης δὲ τούτου ἀκούσας ἐγὼ τοῦ ἀνδρὸς καὶ γενόμενος πρὸς αὐτὸν ἐδεήθην αὐτοῦ καὶ παραλαβὼν αὐτὸν ἤγαγον ἐνθάδε· καὶ ἐρχόμενος κατὰ τὴν ὁδὸν θαυμάσια μεγάλα

14 αἰτήσητε P ‖ 15 ἀκούῃ P ‖ 16 μὴ φοβοῦ, ἀλλά syr ‖ 17 scr τὸν — ἀπολογούμενον? ‖ 19 ἀπίει P ‖ 21 scr ποιῆσαι? ‖ 23 scr ἐκπηδήσασα ‖ 33 scr γέλως ‖ 34 ἐγὼ in ras P

καὶ ἔκπληκτα εἶδον, ἀλλὰ καὶ ἐνθάδε πολλοὶ τοῦ ὀνάγρου κατήκουσαν, καὶ περὶ τοῦ δαίμονος ἐκείνου ὃν ἐξήλασεν, καὶ ἐθεράπευσεν τήν τε γυναῖκά μου καὶ τὴν θυγατέρα, καὶ νῦν ὑγιαίνουσιν· καὶ μισθοὺς οὐκ ᾔτησεν, ἀλλ' ἀπαιτεῖ πίστιν καὶ ἁγιωσύνην, ἵνα κοινωνοὶ αὐτῷ γένωνται ἐν οἷς διαπράττεται. τοῦτο διδάσκει, σέβειν καὶ φοβεῖσθαι ἕνα θεὸν τὸν πάντων δεσπότην καὶ Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ, ἵνα διὰ τῆς τοιαύτης πίστεως τὴν αἰώνιον σχῶσιν ζωήν. ὃ δὲ ἐσθίει ἄρτος ἐστὶν καὶ ἅλας, καὶ τὸ ποτὸν αὐτοῦ ὕδωρ, καὶ ἀπὸ ἑσπέρας ἕως πρωῒ πάννυχον στάσιν ποιεῖ· καὶ ὅσα ἂν αἰτήσῃ τὸν θεὸν αὐτοῦ, δίδωσιν αὐτῷ. καὶ διδάσκει θεὸν ἅγιον καὶ ἀγαθὸν καὶ Χριστὸν τὸν
236 W. υἱὸν αὐτοῦ ζωὴν καὶ ζωοποιόν. διὸ καὶ παραινεῖ τοῖς παροῦσιν αὐτῷ ἐν ἁγιωσύνῃ καὶ ἁγνείᾳ καὶ ἀγάπῃ καὶ πίστει προσεύχεσθαι αὐτῷ.'

ταῦτα ἀκούσας Μισδαῖος ὁ βασιλεὺς παρὰ Σιφόρου πολλοὺς ἔπεμψεν στρατιώτας εἰς τὸν οἶκον Σιφόρου τοῦ στρατηλάτου, ἀγαγεῖν Θωμᾶν τὸν ἀπόστολον καὶ πάντας τοὺς ἐκεῖσε εὑρισκομένους. εἰσελθόντες δὲ οἱ πεμφθέντες ἔνδοθεν τῆς οἰκίας εὗρον πλῆθος πολὺ διδασκόμενον καὶ Μυγδονίαν παρὰ τοῖς ποσὶν καθημένην τοῦ ἀποστόλου. τὸν πολὺν δὲ οἱ ἀποσταλέντες θεασάμενοι ὄχλον εἰσελθεῖν οὐκ ἐτόλμησαν· ἀπελθόντες δὲ πρὸς τὸν βασιλέα εἶπον· ‚οὐκ ἐτολμήσαμέν τι κἀκείνῳ εἰπεῖν· καὶ γὰρ ὄχλος ἦν πολὺς περὶ αὐτόν· καὶ Μυγδονία πρὸς τοῖς ποσὶν αὐτοῦ καθεζομένη ἠκροᾶτο τὰ ὑπ' αὐτοῦ λεγόμενα.'

καὶ ταῦτα ἀκούσαντος Μισδαίου τοῦ βασιλέως καὶ Χαρισίου, ἐκπηδήσας ὁ Χαρίσιος ἀπ' ἔμπροσθεν τοῦ βασιλέως καὶ ὄχλον πολὺν ἀράμενος λέγει· ‚ἐγὼ αὐτὸν εἰσφέρω, βασιλεῦ, καὶ τὴν Μυγδονίαν, ἧς τὸν νοῦν ἀφείλατο.' καὶ ἦλθεν εἰς τὴν οἰκίαν Σιφόρου τοῦ στρατηλάτου μετὰ πολλῆς τῆς ταραχῆς. καὶ εὗρεν αὐτὸν διδάσκοντα· Μυγδονίαν δὲ οὐ κατέλαβεν, ἀναχωρήσασα γὰρ ἦν εἰς τὸν οἶκον αὐτῆς.

ὁ δὲ Χαρίσιος εἶπεν τῷ ἀποστόλῳ· ‚ἀνάστα, μάγε καὶ φαρμακὲ καὶ ἐχθρὲ τοῦ ἐμοῦ οἴκου, καὶ ἄγομε εἰς τὸν βασιλέα Μισδαία, ἵνα περὶ τῶν σῶν μαγειῶν κἀκεῖ τὰς δίκας ἀποτιννύῃς.'

ταῦτα δὲ αὐτοῦ εἰπόντος προσέσχεν αὐτῷ ὁ ἀπόστολος καὶ εἶπεν αὐτῷ· ‚αἱ σαὶ ἀπειλαὶ πρὸς σὲ ἐπιστρέψουσιν. ἐμὲ γὰρ ἐν οὐδενὶ καταβλάψεις· μείζων γὰρ σοῦ ἐστιν καὶ τοῦ σοῦ βασιλέως καὶ πάσης
237 W. ὑμῶν τῆς στρατιᾶς ὁ κύριος Ἰησοῦς Χριστὸς εἰς ὃν ἔσχω καὶ τὰς ἐλπίδας.'

9 scr παννύχιον? (παννύχον P) ‖ 10 Χρ.] χρηστὸν syr ‖ 10-11 τὸν — ζωὴν om syr ‖ 11 πιστεύουσιν syr? ‖ 31 scr ἄγωμεν ‖ 32 μαγιῶν P | ἀποτιννύεισ P ‖ 35 μειζον P ‖ 36 scr ἔσχον an ἔχω?

λαβὼν δὲ ὁ Χαρίσιος ἡμιφόριον ἑνὸς τῶν οἰκείων αὐτοῦ ἐπέβαλεν τῷ τραχήλῳ τοῦ ἀποστόλου λέγων· ‚σύρατε αὐτὸν καὶ ἀπαγάγετε ἕως τοῦ βασιλέως Μισδαίου, καὶ ἴδω εἰ δύναται ὁ θεὸς αὐτοῦ ἐκ τῶν ἀφαρπάσαι χειρῶν.‘ σύραντες δὲ αὐτὸν ἀπήγαγον πρὸς Μισδαία τὸν βασιλέα. στὰς δὲ ὁ ἀπόστολος ἔμπροσθεν τοῦ βασιλέως λέγει αὐτῷ ὁ βασιλεύς· ‚εἰπὲ τίς εἶ καὶ ποίᾳ δυνάμει ταῦτα διαπράττει.‘ ὁ δὲ ἀπόστολος ἡσύχαζεν. ἐκέλευσεν δὲ ὁ βασιλεὺς τοῖς ὑπηκόοις αὐτοῦ μαστιχθέντα αὐτὸν βληθῆναι ἐν τῇ φυλακῇ· οἳ καὶ μαστίξαντες ἐν τῇ φρουρᾷ τοῦτον ἀπήγαγον. ὁ δὲ βασιλεὺς καὶ Χαρίσιος ἐσκέπτοντο τὸ πῶς αὐτὸν θανατώσουσιν· τὸ δὲ πλῆθος ὥσπερ θεὸν προσεκύνουν αὐτόν.

ὁ δὲ ἀπόστολος ἀπελθὼν ἐν τῇ φυλακῇ χαίρων καὶ ἀγαλλιῶν ἔλεγε· ‚ἐξομολογοῦμαί σοι, Ἰησοῦ, ὅτι οὐ μόνον τῆς πίστεώς σου ἄξιόν με ἐποίησας, ἀλλὰ καὶ τοῦ ὑπομεῖναι πολλὰ διὰ σέ. εὐχαριστῶ οὖν σοι, κύριε, ὅτι διὰ σὲ φαρμακὸς ἤκουσα καὶ μάγος.‘ 238 W.

τοῦ ἀποστόλου δὲ ἐν τῇ εἱρκτῇ βληθέντος ὁ Χαρίσιος οἴκαδε γεγηθὼς ἀπῄει προσδοκῶν καὶ νομίζων τὴν αὐτοῦ συγκαθευδῆσαι 251 W. γυναῖκα καὶ τοιαύτην γεγενῆσθαι πρὸ τοῦ, πρὶν ἀκοῦσαι τοῦ θείου λόγου καὶ πιστεῦσαι τῷ Ἰησοῦ. ἀπελθὼν δὲ εὗρεν αὐτὴν τὰς τρίχας κεκομμένας ἔχουσα καὶ τὴν ἐσθῆτα διαρερηγμένην· ἰδὼν δὲ εἶπεν αὐτῇ· ‚κυρία μου Μυγδονία, τί σε ἡ χαλεπὴ αὕτη κατέχει νόσος; καὶ τίνος ἕνεκεν ταῦτα διεπράξω; ἐγώ εἰμι ὁ ἐκ παρθενίας νυμφίος σου διαπρέψας, τῶν τε θεῶν καὶ τῶν νόμων ἄρχειν σου δεδωκότων· τίς ἡ τοσαύτη μανία, ὅτι κατάγελως ἐν παντὶ τῷ ἡμῶν ἔθνει γεγένησαι; ἀπόθου τὴν παρ᾽ ἐκείνου τοῦ φαρμακοῦ δοθεῖσάν σοι μέριμναν· περιελῶ δὲ ἐκ μέσου τὴν ὄψιν ἐκείνου, ἵνα μηκέτι αὐτὸν ἴδῃς.‘

ἡ δὲ Μυγδονία τούτων τῶν λόγων ἀκούσασα ἀνεδίδου τῇ λύπῃ στενάζουσα καὶ ὀδυρομένη. καὶ αὖθις ὁ Χαρίσιος· ‚τοσοῦτον ἄρα 252 W. τοὺς θεοὺς ἠδίκησα, ὅτι τηλικαύτῃ με νόσῳ περιβεβλήκασιν; τί τοσοῦτον πεπλημμέληκα, ὅτι εἰς τοσαύτην με κατέβαλον ταπεινότητα; δέομαί σου, Μυγδονία, μή μου τὴν ψυχὴν ἄγχε ἐπὶ τῇ θέᾳ σου ταύτῃ τῇ οἰκτρᾷ καὶ ταπεινῷ σχήματι, καὶ μή μου τὴν καρδίαν καταπόνει ταῖς ἐπὶ σοὶ φροντίσιν. ἐγώ εἰμι Χαρίσιος ὁ σὸς ποθητός,

---

3 ι uoc ἴδω euan P ‖ 4 scr τῶν τούτου αὐτὸν ἀφ.? ‖ 17 προσδοκ(ῶν) in ras P | scr συγκαθευδήσειν? om syr ‖ 18 γενήσεσθαι Vsener | scr u gr οἵα ἦν καὶ πρὸ τοῦ cf 67, 6. 71, 35 ‖ 19 post τρίχας lacuna? ‖ 20 scr ἔχουσαν ‖ 26 ου uoc ἐκείνου in ras P ‖ 28 scr ἑαυτὴν ἀνεδ.?

ὃν ὅλον τὸ ἔθνος τιμᾷ καὶ δέδιεν· τί με δεῖ πρᾶξαι; τί δὲ πάλιν καὶ λογίσομαι; σιγήσω καὶ καρτερήσω; καὶ τίς ἀνέξεται ὅταν τινὲς τὸν θησαυρὸν αὐτοῦ λαμβάνουσιν; τίς δὲ τὸν σὸν καρτερήσειεν ἀγαθὸν τρόπον; ἐν ταῖς ῥισὶ γὰρ τοῖς ἐμοῖς ἡ εὐωδία σού ἐστιν, καὶ τὸ φαιδρόν σου πρόσωπον ἐν τοῖς ὀφθαλμοῖς μου ἐγκάθηται· ἀφαιροῦντά μου τὴν ψυχὴν καὶ τὸ περικαλλὲς σῶμα ᾧ ἠγαλλόμην ὁρῶν. νῦν ἡ χαρὰ ἡ ἐμὴ εἰς λύπην μετατρέπεται καὶ ἡ ζωή μου εἰς θάνατον καὶ τὸ φῶς σκότῳ βαδίζεται.

μηδεὶς λοιπὸν τῶν συγγενῶν βλέπετέ με, παρ' ὧν οὐδεμία μοι 253 W. βοήθεια γέγονεν· οὐδὲ τοὺς θεοὺς τῆς ἀνατολῆς προσκυνήσω λοιπὸν τηλικούτοις με περιβάλλοντας κακοῖς· οὐδὲ μὴν ἔτι τούτοις προσεύξομαι, οὐδὲ θυσιάσαιμι αὐτοῖς τῆς συμβίου μου ἀποστερηθείς. τί δὲ παρ' αὐτοῖς αἰτήσομαι ἕτερον; ἡ γὰρ δόξα μου πᾶσα ἀφήρηται. εἰμὶ δὲ ἄρχων, δεύτερος τῆς τοῦ βασιλέως ἀρχῆς· ἀθετήσασα δὲ Μυγδονία ταῦτα πάντα ἀφείλατο.'

λέγοντος δὲ τοῦ Χαρισίου ταῦτα μετὰ δακρύων ἐκαθέζετο ἡ Μυγδονία σιωπῶσα καὶ εἰς τὸ ἔδαφος ἀφορῶσα· ὁ δὲ αὖθις προσελθὼν εἶπεν· ,κυρία μου ποθεινοτάτη Μυγδονία, ὑπομνήσθητι ὅτι ἐκ πάντων 254 W. τῶν ἐν τῇ Ἰνδίᾳ γυναικῶν ὡς καλλίστην ἐπελεξάμην καὶ ἔλαβον καίπερ δυνάμενος ἑτέραν πολλῷ σου κάλλιον εἰς γάμον ἐμαυτῷ ἀγαγεῖν· οὐκ ἀλήθειαν δὲ μὰ τοὺς θεοὺς εἴρηκα ὅτι οἷον τὸ σὸν γλυκύτατον κάλλος ἐν τῇ τῶν Ἰνδῶν εὕρηκα χώρᾳ· οὐαὶ δέ μοι διαπαντός, ὅτι οὐδὲ κἂν ἡδύτατον ἀπὸ σοῦ λόγον ἀκοῦσαι καταξιοῦμαι. ἀπόβλεψον εἰς ἐμέ, ὅτι πολλῷ κρείττων ἐκείνου τοῦ φαρμακοῦ εἰμι. πλοῦτος δέ μου καὶ τιμὴ σὺ εἶ, καὶ πάντες γινώσκουσιν ὅτι οὐδείς ἐστιν τοιοῦτος οἷος ἐγώ. γένος δέ μοι καὶ συγγένεια σὺ εἶ· καὶ ἰδού, σεαυτὴν ἀφαιρεῖς ἀπ' ἐμοῦ.'

εἰπόντος δὲ ταῦτα τοῦ Χαρισίου ἡ Μυγδονία λέγει πρὸς αὐτόν· ,ἐκεῖνον ὃν φιλῶ βελτίων σού ἐστιν καὶ τῶν σῶν ὑπαρχόντων· ἡ γὰρ ὕπαρξίς σου ἐκ γῆς οὖσα εἰς γῆν ὑποστρέφει· ὃν δὲ ἐγὼ φιλῶ οὐράνιός ἐστιν, κἀμὲ σὺν αὐτῷ εἰς οὐρανὸν ἄξει. ὁ πλοῦτός σου παρελεύσεται, καὶ τὸ κάλλος σου ἀφανισθήσεται, καὶ τὰ πέπλα σου, καὶ τὰ πολλὰ ἔργα· μόνος δὲ σὺ μετὰ τῶν πλημμελημάτων σου γυμνὸς ἀπάγεις ἐκεῖ· μὴ ὑπομνήσῃς δὲ ἐπ' ἐμοὶ τὰς πράξεις· εὔχομαι δὲ τῷ κυρίῳ ἐπιλαθέσθαι σε, ὥστε μηκέτι μνησθῆναι τῶν προτέρων 255 W. ἡδονῶν καὶ τῆς συνηθείας τῆς σωματικῆς, αἵτινες ὡς σκιαὶ παρελεύ-

1 δεδεῖεν P ‖ 2 λογίσωμαι Usener ‖ 3 scr λαμβάνωσιν? ‖ 3-4 τὸν — τρ.] uerbum auferendi deest etiam in syr ‖ 4 scr ταῖς ἐμαῖς ‖ 5 scr ἀφαιροῦνταί? ‖ 8 βαπτίζεται syr ‖ 9 scr βλεπέτω? ‖ 11 περιβαλόντας syr ‖ 13 scr αὐτῶν? ‖ 19 scr σὲ ἐπελ.? ‖ 20-21 cf syr ‖ 23 ἡδ. om syr ‖ 24 κρεῖττον P ‖ 28 βελτίον P ‖ 32 καὶ — ἔργα] cf syr ‖ 33 ὑπομνήσεις P

σονται, Ἰησοῦς δὲ μόνος μένει εἰς τὸν αἰῶνα καὶ πᾶσαι αἱ εἰς αὐτὸν ἐλπίζουσαι ψυχαί. αὐτὸς ὁ Ἰησοῦς τῶν αἰσχρῶν ἀπαλλάξει με πράξεων ἃς καὶ μετὰ σοῦ τὸ πρότερον ἔπραττον.‘

ἀκούσας δὲ ταῦτα ὁ Χαρίσιος εἰς ὕπνον ἐτράπη λελυμένος τῇ ψυχῇ λέγων τῇ Μυγδονίᾳ· ‚τὰ κατὰ σεαυτὴν δι᾽ ὅλης σκέψου τῆς νυκτός· καὶ εἰ μὲν θέλεις εἶναι μετ᾽ ἐμοῦ οἵα καὶ τὸ πρότερον ἦς, πάντα σου τὰ καταθύμια ποιήσω, καὶ ἐκ τοῦ δεσμωτηρίου τὸν ἀπατήσαντά σε ἀπολύσω, καὶ εἰς ἑτέραν ἀποστείλωμεν χώραν, ἵνα μὴ πάλιν ἀπατήσῃ σε ὡς καὶ πολλὰς καὶ ἄλλας ἠπάτησεν μετὰ σοῦ· μὴ οὖν τῆς ἐμῆς παραινέσεως παραβλέψῃ, καὶ ὄνειδος ἐν τῇ τῶν Ἰνδῶν ποιήσεις με χώρᾳ.‘

ταῦτα τοῦ Χαρισίου λέγοντος ὕπνωσεν· ἣ δὲ λαβοῦσα δηνάρια δέκα ἀπῄει λάθρα δοῦναι τοῖς δεσμοφύλαξιν ὅπως εἰσέλθῃ πρὸς τὸν 256 W. ἀπόστολον.

ὡς δὲ κατὰ τὴν ὁδὸν ἀπῄει, συναντᾷ αὐτὸν ἐρχόμενον· ὃν ἰδοῦσα ἐφοβήθη· ἐνόμισεν γὰρ αὐτὸν ἕνα τῶν ἀρχόντων εἶναι· φῶς γὰρ πολὺ προηγεῖτο αὐτοῦ. καὶ ἔλεγε πρὸς ἑαυτὴν φεύγουσα· ‚ἀπώλεσά σε, ὦ ἀθλία ψυχή, ὅτι οὐκ ἠξιώθης ἄρτι τοῦ νέου θεοῦ ἰδεῖν τὸν ἀπόστολον.‘ καὶ φεύγουσα εἰς στενὸν προσέδραμε τόπον, κἀκεῖσε ἐκρύπτετο λέγουσα· ‚αἱρετώτερον ὑπὸ μετριωτέρων ἀναλίσκεσθαι, οὓς καὶ δυνατὸν πεῖσαι, ἢ ἐν ταῖς τοῦ ἄρχοντος τούτου χερσὶν ἐμπεσεῖν με.‘

(πρᾶξις ι´ ὅτε ἡ Μυγδονία λαμβάνει τὸ βάπτισμα)

διανοουμένης δὲ ταῦτα τῆς Μυγδονίας Ἰούδας εἰσελθὼν ἐπέστη αὐτῇ· ὃν ἰδοῦσα ἐφοβήθη καὶ ὑπὸ τοῦ φόβου ἐπὶ τὴν γῆν πεσοῦσα ἔκειτο ὥσπερ νεκρά· ἐκ τῆς χειρὸς δὲ ταύτην λαβόμενος ὁ Θωμᾶς ἀνέστησεν λέγων αὐτῇ· ‚μὴ φοβοῦ, Μυγδονία· οὐ μή σε Χριστὸς ἐάσει, οὐδὲ παρόψεταί σε ὁ κύριός σου εἰς ὃν καὶ σεαυτὴν ἀνέθηκας. ἀνάστηθι τοίνυν ἀπὸ τῆς γῆς καὶ ἴδε τὸ φῶς, ὅτι οὐκ ἐᾷ κύριος τοὺς ἀγαπῶντας αὐτὸν ἐν τῷ σκότει βαδίζειν.‘

καὶ ἡ Μυγδονία ἀναστᾶσα προσεῖχεν αὐτῷ καὶ εἶπεν· ‚ποῦ 257 W. ἀπῄεις, κύριέ μου; καὶ τίς ὁ ἐξαγαγών σε ἐκ τοῦ δεσμωτηρίου ὁρᾶν τὸν ἥλιον;‘

---

5 scr σκέψαι? σκέψῃ? ‖ 8 ἀποστ.] cf syr ‖ 10 νέ uoc παραινέσεως in ras P | scr παραβλέψῃς? (παραβλέψη P) ‖ 11 leg ποιήσῃς? ‖ 13 ἀπείη P ‖ 18 cf syr ‖ 19 scr προέδραμε? ‖ 20 et 21 λέγουσα et οὓς euan P ‖ 20 scr ἁλίσκεσθαι

λέγει αὐτῇ Ἰούδας Θωμᾶς· ‚ὁ κύριός μου Ἰησοῦς Χριστὸς δυνατώτερός ἐστιν πασῶν δυνάμεων καὶ βασιλέων καὶ ἀρχόντων.‘ καὶ ἡ Μυγδονία εἶπεν· ‚τὴν ἐν Χριστῷ, κύριέ μου, πάρασχέ μοι σφραγῖδα, καὶ διὰ τῶν σῶν χειρῶν τὸ λουτρὸν λάβω τῆς ἀφθαρσίας πρὶν ἤ σε τοῦ βίου ἐξελθεῖν.‘ καὶ παραλαβοῦσα αὐτὸν εἰς τὴν αὐλὴν ἤγαγε τῆς τροφοῦ, καὶ ἀφύπνιζε τὴν τροφὸν λέγουσα αὐτῇ· ‚μήτηρ ἐμὴ καὶ τροφὲ Μαρκία, πᾶσαν ἐκ νηπίου τὴν ἀνάπαυσίν μου ἐποίησας καὶ τὰ θελήματά μου ἐπλήρωσας, καὶ χάριν σοι δι᾽ αὐτὰς ὀφείλω, κυρία μου. ποίησον δέ μοι καὶ νῦν χάριν, ἵνα διαπαντὸς τὴν ἀμοιβὴν ἀπολάβῃς παρ᾽ ἐκείνου τοῦ τὰ μεγάλα χαριζομένου.‘ πρὸς τούτοις δὲ ἡ Μαρκία· ‚τί θέλεις‘ φησί, ‚θυγάτηρ μου Μυγδονία;‘ καὶ ἡ Μυγδονία λέγει· ‚γενοῦ μοι κοινωνὸς τῆς αἰωνίου ζωῆς, ἵνα δέξωμαι παρὰ σοῦ τελείαν τροφήν. ἄρτον μοι ἀνελομένη κόμισον καὶ ὕδατος ὡσαύτως κρασίν, τῆς ἐλευθερίας μου φειδομένη.‘ ἡ δὲ τροφὸς ἔφη·
258 W. ‚ἐγὼ κομίσω ἄρτους πολλοὺς καὶ ἀντὶ ὕδατος μετρητὰς οἴνου, καὶ τὴν ἐπιθυμίαν σου πληρῶ.‘ ἣ δὲ λέγει πρὸς τὴν τροφόν· ‚μετρητῶν οὐ δέομαι, οὐδ᾽ αὐτῶν τῶν πολλῶν ἄρτων. τοῦτο δὲ μόνον, κρασὶν ὕδατος καὶ ἄρτον ἕνα καὶ ἔλαιον.‘ κομισάσης δὲ τῆς Μαρκίας ταῦτα ἡ Μυγδονία ἵστατο ἔμπροσθεν τοῦ ἀποστόλου γυμνὴ τῇ κεφαλῇ, καὶ αὐτὸς ἄρας τὸ ἔλαιον κατέχεεν ἐν τῇ κεφαλῇ αὐτῆς εἰπών· ‚ἔλαιον ἅγιον εἰς ἁγιασμὸν ἡμῖν δοθέν· μυστήριον κρυφιμαῖον ἐν ᾧ ὁ σταυρὸς ἡμῖν ἐδείχθη· σὺ εἶ ἡ ἁπλότης τῶν κεχαλυμένων μελῶν· σὺ εἶ ὁ δεικνὺς τοὺς κεχρυμμένους θησαυρούς· σὺ εἶ τὸ τῆς χρηστότητος βλάστημα· ἐλθέτω ἡ δύναμίς σου· ἱδρυνθήτω ἐπὶ τὴν δούλην σου Μυγδονίαν ἡ ἐλευθερία αὕτη.‘

ἐπιχυθέντος δὲ τοῦ ἐλαίου ἐκέλευσεν τῇ τροφῷ αὐτῆς ἀποδύειν αὐτὴν καὶ σινδόνα αὐτὴν περιζῶσαι· ἦν δέ τις ἐκεῖ κρήνη ὕδατος, ἐφ᾽ ἣν ἐλθὼν ὁ ἀπόστολος τὴν Μυγδονίαν ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὡς δὲ ἐβαπτίσθη καὶ ἐνεδύσατο, ἄρτον κλάσας καὶ λαβὼν ποτήριον ὕδατος κοινωνὸν ἐποίησεν αὐτὴν τῶν τοῦ Χριστοῦ μυστηρίων καὶ εἶπεν· ‚ἐδέξω τὴν
259 W. σφραγῖδα, κτίσαι σεαυτὴν ζωὴν αἰώνιον.‘ καὶ παραχρῆμα ἠκούσθη ἄνωθεν φωνὴ λέγουσα· ‚ναί, ἀμήν.‘ ὡς δὲ ταύτης τῆς φωνῆς ἤκουσεν ἡ Μαρκία ἐξεπλάγη· καὶ ἐδεήθη τοῦ ἀποστόλου ἵνα καὶ αὐτὴ τὴν ἐν Χριστῷ λήψῃ σφραγῖδα. δοὺς δὲ αὐτῇ ὁ ἀπόστολος εἶπεν· ‚ἔστω καὶ περὶ σὲ ἡ σπουδὴ τοῦ κυρίου ὡς καὶ περὶ τῶν ἄλλων.‘

7-8 cf syr ‖ 11 φησι compend P ‖ 14 et 18 scr κρασίον? ‖ 14 post κρασὶν (sic, deleto acuto) uncinus P ‖ 16 πληρώσω Usener ‖ 19 scr γυμνῇ? cf 40, 34 ‖ 22 scr ὁ ὁπλωτὴς τ. κεκαμμένων μ.? ‖ 24-25 cf syr ‖ 32 scr κέκτησαι (immo ἐκτήσω cf 69, 28 Usener) σεαυτῇ? ‖ 35 scr λήψεται? ‖ 36 scr τοὺς ἄλλους?

ταῦτα δὲ ὁ ἀπόστολος πράξας ὑπέστρεψεν εἰς τὸ δεσμωτήριον· εὗρεν δὲ τὰς πύλας ἀνεῳγμένας καὶ τοὺς φύλακας ἔτι καθεύδοντας. καὶ εἶπεν Θωμᾶς· ‚τίς ἕτερος θεὸς ὡς σύ, ὁ θεὸς ἡμῶν; ὃς τὴν φιλοστοργίαν σου καὶ σπουδὴν ἀπ' οὐδενὸς ἔχεις· τίς ὅμοιός σου ἐν θεοῖς, κύριε; ὃς ἐκ τῶν κακῶν πάντας ἡμᾶς ἀφελεῖν οἶδας. ἡ ζωὴ ἡ τὸν θάνατον χειρωσαμένη· ἡ ἄνεσις ἡ τὸν πόνον ἐκκόψασα. δόξα τῷ ἐκ πατρὸς μονογενεῖ· δόξα τῷ εὐσπλάγχνῳ τῷ ἐκ σπλάγχνων θεοῦ εἰς ἡμᾶς ἀποσταλέντι.'

εἰπόντος δὲ ταῦτα οἱ φύλακες διυπνίσθησαν καὶ εἶδον πάσας τὰς θύρας ἀνεῳγμένας. καὶ ἔλεγον καθ' ἑαυτῶν οἱ φύλακες· ‚οὐχ ἡμεῖς πάσας τὰς θύρας ἠσφαλισάμεθα; καὶ πῶς ἄρτι ἀνεῳγμέναι εἰσὶν καὶ ἔνδον οἱ δεσμῶται;'

ὁ δὲ Χαρίσιος ἅμα τῷ διαφαῦσαι πρὸς τὴν Μυγδονίαν ἤρχετο· εὗρεν δὲ αὐτὰς ὁμοῦ εὐχομένας καὶ λεγούσας· ‚νέε θεέ, ὃς διὰ τοῦ 260 W. ξένου εἰς ἡμᾶς ὧδε κατέλαβες, καὶ τὴν σὴν δόξαν διὰ τοῦ ἀποστόλου σου δείξας Θωμᾶ· θεέ, τῆς σῆς φήμης ἀκούσασαι πεπιστεύκαμεν· ὁ θεὸς πρὸς ὃν σωθῆναι ἤλθομεν, ἐλέησον ἡμᾶς· ὁ θεὸς ὁ ἐπιζητήσας ἡμᾶς, ὃν ἠγνοοῦμεν, ὃν οὐκ ἐγινώσκομεν, κατὰ τὸ σὸν ἡμᾶς στήριξον θέλημα καὶ τῆς σῆς ἀντιλήψεως μὴ χωρίσῃς ἡμᾶς· ἀλλὰ καὶ τὴν μανίαν τῆς σωματικῆς ἕνεκεν μίξεως Χαρισίου καταπράυνον.'

ταῦτα ὁ Χαρίσιος ἀκούσας πρὸς τὴν Μυγδονίαν λέγει· ‚δικαίως κακὸν καὶ αἰσχρὸν καὶ μαινόμενόν με ἀποκαλεῖς· εἰ μὴ γὰρ ἠνεσχόμην τὸ ἀνυπότακτόν σου καὶ ἐλευθερίαν σοι ἐδωρησάμην, οὐκ ἂν ἐπεκαλέσω κατ' ἐμοῦ καὶ τοῦ ὀνόματός μου ἐμνημόνευσας ἔμπροσθεν τοῦ νυνὶ παρὰ σοῦ ὀνομαζομένου θεοῦ. πίστευσον δέ μοι, Μυγδονία, ὅτι ὅσα σοι ἐκεῖνος ὁ φαρμακὸς ἐπαγγέλλεται οὐδὲν ὠφελήσει. εἰπὲ δέ, Μυγδονία μου, τὴν ἀλήθειαν· ἐμὲ τὸν πρίν σοι 261 W. ποθούμενον κρείττονα ἔχεις, ἢ ὃν νῦν νέον ἐκτήσω θεόν;'

καὶ ἡ Μυγδονία εἶπεν· ‚ὁ καιρὸς ἐκεῖνος ἀπῄτει τὰ ἑαυτοῦ καὶ οὗτος τὰ ἴδια· ὁ καιρὸς ἐκεῖνος ἀρχῆς ἦν, οὗτος δὲ τέλος· ἐκεῖνος ὁ καιρὸς ἦν προσκαίρου ζωῆς, οὗτος δὲ αἰωνίου· ἐκεῖνος παρερχομένης ἦν ἡδονῆς, οὗτος δὲ διαπαντὸς παραμένει· ἐκεῖνος ἡμέρας καὶ νυκτός, οὗτος δὲ πάρεξ νυκτός, μόνης ἡμέρας· εἶδες ἐκεῖνον τὸν παρελθόντα γάμον ὧδε καὶ μόνον, ὁ δὲ γάμος οὗτος εἰς τὸν αἰῶνα μένει· ἡ κοινωνία ἐκείνη διαφθορᾶς ἦν, αὕτη δὲ ζωῆς αἰωνίου· οἱ παράνυμφοι ἐκεῖνοι ἄνδρες εἰσὶν καὶ γυναῖκες πρόσκαιροι, οἱ δὲ νῦν

5-6 cf syr ‖ 6 τῶν πόνων P ‖ 10 scr ἑαυτοὺς? (Vsener) ‖ 13 τὸ P ‖ 16 scr ἔδειξας? ‖ 24 (ἔ)μπροσθεν in ras ‖ 25 scr νομιζομένου? ‖ 27 ὀφελήσῃ P ‖ 30 scr τέλους ‖ 33 ἴδεσ P ‖ 34 μόνον] scr παρῳχημένον? cf syr

εἰς τέλος παραμένουσιν· ἐκεῖνος ὁ γάμος ἐπὶ γῆς ἵστησιν φιλανθρωπίαν δροσίζων· ἐκεῖνος ὁ παστὸς λύεται πάλιν, ἐκεῖνος δὲ ἀεὶ διαμένει· ἐκείνη ἡ κλίνη πάρεσιν κατέστρωται, αὕτη δὲ στοργῇ τε καὶ πίστει· σὺ νυμφίος εἶ παριὼν καὶ λυόμενος, ὁ δὲ Ἰησοῦς νυμφίος
262 W. ἐστὶν ἀληθινός, εἰς τὸν αἰῶνα ὡς ἀθάνατος παραμένων· ἐκεῖνο τὸ ἀνοκαλύπτριον χρήματα ἦν καὶ πέπλα παλαιούμενα, τοῦτο δὲ ζῶντες λόγοι μηδέποτε παρερχόμενοι.‘

ἀκούσας δὲ ταῦτα ὁ Χαρίσιος ἀπῆλθεν πρὸς τὸν βασιλέα καὶ πάντα τὰ τῆς Χαρισίας ἀπήγγειλεν ῥήματα. ὁ δὲ βασιλεὺς ἐκέλευσεν τὸν Ἰούδαν ἀχθῆναι, ἵνα αὐτὸν ἀνακρίνας θανατώσῃ. ὁ δὲ Χαρίσιος εἶπεν· ‚ἀντέχου τέως, βασιλεῦ, λόγοις δὲ πρῶτον φοβήσας πεῖσον τὸν ἄνδρα ὅπως τὴν Μυγδονίαν συγκαθευδῆσαί μοι πείσῃ.‘

καὶ μεταπεμψάμενος ὁ Μισδαῖος ἐκ τῆς φυλακῆς ἤγαγε τὸν ἀπόστολον· πάντες δὲ ἐλυπήθησαν οἱ δεσμῶται ὅτι ἀνεχώρει ἀπ᾽ αὐτῶν ὁ ἀπόστολος· πολλὰ γὰρ ἐπόθουν αὐτόν· ἔλεγον δὲ ὅτι ‚καὶ ταύτην τὴν παραμυθίαν ἣν εἴχομεν ἀφείλαντο ἀφ᾽ ἡμῶν.‘ ὁ δὲ Μισδαῖος πρὸς τὸν ἀπόστολον ἔλεγεν· ‚διὰ τί τὴν νέαν ταύτην διδάσκεις διδασκαλίαν ἣν θεοί τε μισοῦσιν καὶ ἄνθρωποι οὐδὲν ἔχουσα χρήσιμον;‘

καὶ ὁ Ἰούδας λέγει· ‚τί φαῦλον διδάσκω;‘ καὶ ὁ Μισδαῖος ἔφη· ‚διδάσκεις λέγων ὅτι οὐ καλῶς ζῆν τινα ἔξω τοῦ θεοῦ τυγχάνοντα οὗ ἐγὼ διδάσκω.‘ ‚ἀληθῶς λέγεις, ὦ βασιλεῦ· οὕτως κἀγὼ διδάσκειν οἶδα. εἰπὲ γάρ μοι· τοὺς σοὺς στρατιώτας ἐν ῥυπαρᾷ ἐσθῆτι δορυφοροῦντάς σοι οὐκ ἀγανακτεῖς; . . . α σὺ βασιλεὺς ὢν γῆς εἰς γῆν χωρῶν ἀπαιτεῖς τοὺς ὑπὸ σὲ σεμνοὺς εἶναι τῷ πράγματι, κἀμοὶ
263 W. χολαίνεις πρὸς τὸν ἐπουράνιον οὕτως ἔχειν κακῶς ἐμὲ διδάσκειν; τοὺς σοὺς ὑπηκόους τὴν σὴν πολιτείαν καὶ τοὺς σοὺς τρόπους μετιέναι βούλει, καὶ καταφρονούντων τῶν σῶν πραγμάτων κολάζει· πόσῳ μᾶλλον τῷ ἐπουρανίῳ βασιλεῖ οὐ χρὴ δουλεύειν μετὰ πολλῆς σεμνότητός τε καὶ καθαρότητος, ἔξω πάντων τῶν σωματικῶν ἡδονῶν, ἀπηλ-

1 locus corruptus et mutilus: cf syr ‖ 2 scr οὗτος δὲ ‖ 3 scr φάρεσιν? ‖ 6 in ἀνοκαλ. κ ex β P: scr ἀνακαλυπτήριον? ‖ 9 scr Μυγδονίας? ‖ 10 in ἀνακρίνας κ ex β P ‖ 12 η uoc πείσῃ in ras P ‖ 14 ἐλυπήθη (latet σαν sub macula) P ‖ 19 scr ἔχουσαν? ‖ 21 δυνατὸν (post τινα?) intercid ‖ 22 ante ἀληθῶς e syr adde u gr λέγει αὐτῷ Ἰούδας ‖ 23 ε uoc ἐσθῆτι in ras P ‖ 24 α litterae particula sola e macula eminet: εἶτα latere uid | post γῆς alia macula minor sub qua καὶ compend latere possis suspicari ‖ 25 scr σχήματι? ‖ 26 χολαίνησ P | λέγων aut plura (post ἔχειν?) interciderunt ‖ 28 scr καταφρονοῦντας τ. σ. προσταγμάτων? | scr κολάζεις? ‖ 29 οὐ del? an scr μου? ‖ 30 del ἔξω? an del λέγω 71, 1? cf 19, 38 | πάντων] πασῶν τούτων syr

λαγμένους μοιχείας λέγω τε καὶ ἀσωτίας, κλοπῆς καὶ μέθης καὶ ὑπηρεσίας γαστρὸς καὶ αἰσχρῶν πράξεων;‘

ἀκούσας δὲ ταῦτα ὁ Μισδαῖος εἶπεν· ‚ἰδοὺ ἀπολύω σε. ἀπελθὼν οὖν πεῖσον τὴν Μυγδονίαν συγκαθευδῆσαι τῷ Χαρισίῳ.‘ λέγει αὐτῷ Ἰούδας· ‚μὴ μέλε εἴ τι ἔχεις πρᾶξαι· ἐκείνη γὰρ εἰ δικαίως δέδεκται ἃ μεμάθηκεν, οὐ σίδηρος, οὐ πῦρ, οὐδ’ ἄλλο τι τῶν τοιούτων ἰσχυρότερον παραβλάψαι αὐτῇ δυνήσηται οὐδὲ ἐκκόψαι τὸν ἐν τῇ ψυχῇ αὐτῆς κατεχόμενον.‘ λέγει ὁ Μισδαῖος τῷ Ἰούδᾳ· ‚φάρμακα ἕτερα διαλύειν οἴδασιν ἕτερα φάρμακα, καὶ πληγὰς ἐχίδνης θηριακὴ διαλύει· καὶ σύ, εἰ ἄρα γε καὶ θελήσειας, δύνασαι τῶν φαρμάκων ἐκείνων λύσιν δοῦναι, καὶ εἰρήνην καὶ ὁμόνοιαν τοῦ συνοικεσίου ποιῆσαι. εἰ 264 W. δὲ τοῦτο ποιεῖν οὐ θελήσειας, τάχιόν σε τοῦ ζῆν ἀπαλλάξω.‘

καὶ Ἰούδας ἔφη· ‚ἡ ζωὴ αὕτη κατὰ χρῆσιν δέδοται, καὶ ὁ καιρὸς οὗτος ἀλλάσσεται· ἐκείνη δὲ ἡ ζωὴ ἣν ἐγὼ διδάσκω ἄφθαρτός ἐστιν. τὸ δὲ κάλλος καὶ ἡ φαινομένη νεότης μετὰ μικρὸν οὐκ ἔσται.‘ καὶ ὁ βασιλεὺς λέγει· ‚ἐγὼ μὲν συνεβούλευσά σοι τὸ συμφέρον, σὺ δὲ μειοῖς τὰ σά.‘

ἐξιόντος δὲ τοῦ ἀποστόλου ἐκ τοῦ βασιλέως προσελθὼν δεόμενος ὁ Χαρίσιος ἔλεγεν αὐτῷ· ‚δέομαί σου, ἄνθρωπε‘, ἔφη· ‚οὐδὲν οὔτε εἰς σὲ ἢ εἰς ἕτερον ἡμάρτηκα πώποτε, οὔτε πάλιν εἰς θεούς· καὶ διὰ τί τηλικοῦτον ἐπισεῖσαι συνεχώρησάς μοι κακόν; καὶ τίνος ἕνεκεν τοιαύτην ἀκαταστασίαν τῷ οἴκῳ μου ἐπεισήγαγες; τί δέ σοι καὶ ἐκ τούτου ἡ ὄνησις; ἢ τί κερδᾶναι νομίζεις; εἰπέ μοι τὸ κέρδος ὁποῖόν ἐστιν, κἀγώ σοι ἑτοίμως ἀποδώσω· τίνος δὲ ἕνεκεν εἰς ἔκστασιν φρενῶν ἤγαγές με, σεαυτὸν δὲ εἰς ὄλεθρον; ἐὰν γὰρ ταύτην μὴ πείσῃς, καὶ σὲ διαχειρίσομαι καὶ τέλος ἐμαυτὸν τῷ βίῳ παρέξομαι.

εἰ δὲ ὡς λέγεις μετὰ τὴν ἐνταῦθα τοῦ βίου ἀπαλλαγὴν ἔστιν τις ἐκεῖ ζωή τε καὶ θάνατος, ἔτι δὲ καὶ κατάκρισις καὶ νίκη καὶ κριτήριον, κἀγὼ εἷς εἰμι ἐκεῖ μετὰ σοῦ κρινόμενος, καὶ εἰ δίκαιος θεὸς ὃν κηρύττεις καὶ δικαίως τὰς τιμωρίας ἐπάξει, οἶδα ὅτι δίκην εἰσπράξομαι μετὰ σοῦ. ἔβλαψας γὰρ μηδὲν παρ’ ἐμοῦ ἀδικηθείς. καὶ γὰρ ἐνταῦθα οἷός εἰμι ἀμύνασθαί σε ἐπίστασαι εἰς ὅσα εἰς 265 W. ἐμὲ δέδρακας.

τοιγαροῦν πείσθητι καὶ ἐλθὲ οἴκοι μετ’ ἐμοῦ, καὶ πεῖσον τὴν Μυγδονίαν γενέσθαι μετ’ ἐμοῦ ὥσπερ ἦν τὸ πρότερον πρὶν ἤ σε θεάσηται‘. ὁ δὲ Ἰούδας λέγει αὐτῷ· ‚πίστευσόν μοι, τέκνον, ὅτι εἰς

---

5 scr μέλλε ‖ 7 scr αὐτὴν? | scr δυνήσεται? cf 59 7 ‖ 12 τάχειον P ‖ 22 scr τίς? | scr καί σοι? ‖ 23 ὤνησισ P ‖ 26 σὲ] \\\ ὲ P | διαχειρήσωμαι P | τέλ. — παρ.] cf syr ‖ 31 scr γάρ με μ.? ‖ 32 ἐπίστασε P καὶ ἀμείψασθαι syr ‖ 36 scr εἰ

τοσοῦτον οἱ ἄνθρωποι τὸν θεὸν ἔστεργον ὥσπερ ἀλλήλους, ὅσα ἂν ᾐτοῦντο ἐλάμβανον παρ' αὐτοῦ μηδενὸς ἀποτυγχάνοντες'.

καὶ ταῦτα τοῦ Θωμᾶ λέγοντος εἰς τὴν οἰκίαν ἑκάτεροι ἀπῄεσαν, ὅ τε Θωμᾶς λέγω καὶ Χαρίσιος, καὶ κατέλαβον τὴν μὲν Μυγδονίαν καθημένην, τὴν δὲ Μαρκίαν ἑστηκυῖαν, ὑποβεβλημένην τὴν περὶ αὐτῆς χεῖρα, πρὸς τὴν Μυγδονίαν· καὶ ἔλεγεν· ,συντμηθείησαν ἐπ' ἐμοί, ὦ μήτηρ, αἱ ὑπόλοιπαι τῆς ζωῆς μου ἡμέραι, καὶ γένωνται αἱ πᾶσαι ἡμέραι ὡς μία ὥρα, ἵνα τάχιον οὕτως ἀπελθοῦσα ἴδω τὸν ὡραῖον ἐκεῖνον, οὗ καὶ τῆς φήμης ἤκουσα, τὸν ζῶντα ἐκεῖνον καὶ ζωὴν πᾶσι δωρούμενον τοῖς εἰς αὐτὸν πιστεύουσιν, ὅπου οὔτε ἡμέρα καὶ νύξ ἐστιν, οὔτε φῶς καὶ σκότος, οὔτε ἀγαθὸς καὶ κακός, οὔτε πένης καὶ πλούσιος, ἄρρην τε καὶ θῆλυ, οὐκ ἐλεύθερος καὶ δοῦλος, οὐχ ὑπερήφανος καὶ τοὺς ταπεινοὺς ὑποτάσσων.'

ταῦτα δὲ αὐτῆς λεγούσης ὁ ἀπόστολος ἔστη πρὸς αὐτήν· καὶ παραχρῆμα ἀναστὰς προσεκύνησεν αὐτῷ. τότε ὁ Χαρίσιος πρὸς τὸν Ἰούδα ἔφη· ,ὁρᾷς ὅπως δέδοικέν σε καὶ τιμᾷ καὶ πᾶν ὅ τι προστάξειας ἑκοῦσα ποιεῖ;'

ἐκείνου δὲ ταῦτα λέγοντος ὁ Ἰούδας τῇ Μυγδονίᾳ λέγει· ,πείσθητι, θυγάτηρ μου Μυγδονία, οἷς λέγει ὁ ἀδελφὸς Χαρίσιος.' καὶ ἡ 266 W. Μυγδονία λέγει· ,εἰ σὺ λόγῳ τὸ πρᾶγμα οὐκ ἠδυνήθης, ἐμὲ ὑπομένειν τὸ ἔργον ἀναγκάζεις; ἐγὼ γὰρ ἤκουον παρὰ σοῦ ὅτι ἡ ζωὴ αὕτη χρησιμαία οὐκ ἔστιν, καὶ ἡ αἴνεσις αὕτη πρόσκαιρος, καὶ ταῦτα τὰ κτήματα ἀπαράμονά εἰσιν. ἔλεγες δὲ πάλιν ὅτι ταύτην ὁ ἀποστρεφόμενος τὴν ζωὴν δέξεται τὴν αἰωνίαν, καὶ ὁ μισῶν τὸ τῆς ἡμέρας καὶ νυκτὸς φῶς θεάσηται φῶς τὸ μὴ καταλαμβανόμενον, καὶ ὅτι ὁ ταῦτα παραβλέπων τὰ χρήματα ἕτερα καὶ ἀίδια χρήματα καταλάβῃ· νῦν δὲ φοβούμενος τί με τὸ μὴ καθῆκον πρᾶξαι βουλεύει; τίς ἐν δαψιλαίῳ χώρῳ πηγὴν ὕδατος ἀνορύξας ταύτην κατέχωσεν αὖθις; τίς θησαυρὸν εὑρὼν οὐκ εὐθὺς τούτον ἐχρήσατο;'

ἀκούσας δὲ ταῦτα ὁ Χαρίσιος εἶπεν· ,ἐγὼ οὐκ ἐπαμυνῶ ἐπὶ τούτῳ ὑμᾶς, οὐδὲ ἐπαχθὴς γενήσομαι, οὔτε εἰ καὶ ἔξεστιν δεσμῷ περιβαλεῖν· πλὴν οὖν οὐ συγχωρήσω σοι ἔτι τούτῳ τῷ φαρμακῷ διαλεχθῆναι.' ὁ δὲ Ἰούδας ἐξελθὼν ἐκ τῆς Χαρισίου οἰκίας εἰς τὴν

5-6 ὑποβεβλημένην τῇ παρειᾷ τὴν χεῖρα syr? ‖ 7 scr ὑπόλοιποι? ‖ 8 τάχειον P ‖ 12 scr θῆλυς? ‖ 15 scr ἀναστᾶσα ‖ 16 scr Ἰούδαν? ‖ 20 post ἠδυν. infinitiuus intercid? ‖ 22 χρησ. οὐκ] *creditum* syr: cf 71, 13 | scr ἄνεσις ‖ 25 scr θεάσεται? cf 26 καταλάβει (sic P) | scr κατασβεννύμενον? ‖ 27 scr βούλει ‖ 28 scr διψαλέῳ χωρίῳ? | ἀνωρρύξας P ‖ 29 scr τούτῳ? ‖ 30 ἐπαμύνω P ‖ 31 τοῦτο P | scr οὐδὲ? ‖ 32 scr περιβαλῶ?

Σιφόρου οἰκίαν ἀπῄει, κἀκεῖ μετ' αὐτοῦ ᾤκει. εἶπεν δὲ Σιφώρ· ,εὐτρεπίσω τὸν Ἰούδαν τρίκλινον ἐν ᾧ τόπῳ διδάσκει.' καὶ ἐποίησεν 267 W. οὕτως. καὶ εἶπεν Σίφωρ· ,ἐγώ τε καὶ ἡ ἐμὴ γυνὴ καὶ ἡ θυγάτηρ μου τοῦ λοιποῦ ἐν ἁγιωσύνῃ οἰκήσωμεν, ἐν ἁγνείᾳ καὶ μιᾷ διαθέσει. δέομαί σου ἑκατέρους ἡμᾶς τὴν ἐν Χριστῷ σφραγῖδα ἡμᾶς παρασχεῖν, ἵνα τῷ θεῷ τῷ ἀληθινῷ λάτραι γενώμεθα καὶ ἐναρίθμιοι τοῖς αὐτοῦ ἀρνίοις καὶ ἀμνάσιν.'

ὁ δὲ Ἰούδας λέγει· ,φοβοῦμαι λέγειν ὅπερ ἐνθυμοῦμαι· οἶδα δέ τι, καὶ ὅπερ οἶδα ἐξαγορεύειν οὐχ οἷόν τέ μοι.' καὶ ἤρξατο λέγειν περὶ τοῦ βαπτίσματος·

,τὸ βάπτισμα τοῦτο ἁμαρτιῶν ἐστιν ἄφεσις· τοῦτο ἀναγεννᾷ καὶ νέον ἄνθρωπον τὸν τοῦτο κτώμενον ἀπεργάζεται. ψυχὴν τρισσῶς ἀνιστᾷ, καὶ πνεύματος ἁγίου γίνεται κοινωνός.' καὶ λέγει· ,δόξα τῇ ἀπορρήτῳ σου δυνάμει· δόξα, ὁ τὸ λουτρὸν τοῦ βαπτίσματος ἐνδυόμενος· σοὶ δόξα, τῷ ἐκ τῆς πλάνης τοὺς ἀνθρώπους λυτρουμένῳ καὶ τῇ σῇ κοινωνοὺς ποιούμενος κοινωνίᾳ.'

καὶ ταῦτα εἰπὼν ἔλαιον κατὰ τῆς κεφαλῆς αὐτῶν ἐπιχέων ἔλεγεν· ,σοὶ δόξα τῷ τὰ σπλάγχνα ἡμῖν ἀνοίγοντι· δόξα καὶ τῷ αὐτοῦ μονογενεῖ τῷ κυρίῳ καὶ θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ. δόξα καὶ τῷ ἁγίῳ καὶ συναϊδίῳ καὶ ὁμοουσίῳ πνεύματι.' καὶ ἐκέλευσεν ἐνεχθῆναι σκάφην, καὶ ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. βαπτισθέντων δὲ καὶ ἐνδυσα- 268 W. μένων ἄρτον καταθεὶς ἐπὶ τὴν τράπεζαν εἶπεν εὐλογῶν· ,ἄρτον τοῦτον ζωῆς ποίησον, ὃν οἱ ἐσθίοντες ἄφθαρτοι διαμείνωσιν· ὁ ταύτην τὴν δωρεὰν καταξιώσας δέξασθαι τούτους, καταξίωσον καὶ μετόχους τῆς αὐτοῦ βασιλείας γενέσθαι, καὶ ἀεὶ ἀμιάντους ἐν τῷδε τῷ βίῳ διαμένειν, ἵνα οὕτως διαμένοντες τῶν ἀθανάτων ἐκείνων καὶ μεγάλων σου τύχωσιν ἀγαθῶν.' καὶ κλάσας τὸν ἄρτον ἐπέδωκεν τῷ τε Σιφόρῳ καὶ τῇ αὐτοῦ γυναικὶ καὶ τῇ τούτων θυγατρί.

(πρᾶξις ια´ περὶ τῆς γυναικὸς Μισδαίου)

Μισδαῖος δὲ ὁ βασιλεὺς ἀπολύσας Ἰούδαν οἴκαδε ἀπῄει, διηγεῖτο δὲ τῇ γυναικὶ τὰ συμβεβηκότα τῷ ἰδίῳ Χαρισίῳ λέγων· ,ὅρα' φησίν ,τί γέγονεν ἐν τῷ ἀθλίῳ ἐκείνῳ· οἶδας δὲ καὶ αὐτή, ὦ ἀδελφή μου

2 scr τῷ Ἰούδᾳ? ‖ 4 leg οἰκήσομεν? ‖ 5 scr ἑκατέροις ἡμῖν? | del ἡμᾶς? ‖ 13 ἀνιστὰ P ‖ 14 cf syr ‖ 16 scr ποιουμένῳ? ‖ 18 τ prioris τῷ in ras P ‖ 26 (ἀ)μιάν(τους) in ras P ‖ 32 τὰ συμβε(βηκότα) in ras P | ἰδ.] scr. ἰδ. συγγενεῖ καὶ φίλῳ? cf 63, 13 et syr ‖ 33 ἐν del Vsener

Τερτία, ὅτι οὐδὲν κρεῖττόν ἐστιν παρὰ τὸ τὸν ἄνδρα τῇ ἰδίᾳ ἐπαναπαύεσθαι γυναικί· συνέβη δὲ τὴν γυναῖκα Χαρισίου ἀπελθεῖν πρὸς τὸν φαρμακὸν ἐκεῖνον ὃν ἤκουσας τῇ Ἰνδῶν ἐπιδημήσαντα χώρᾳ, τοῖς αὐτοῦ φαρμάκοις περιπεσεῖν καὶ τοῦ ἰδίου διζευχθῆναι ἀνδρός· καὶ ἠπόρει ὅ τι καὶ πράξειεν. θελήσαντος δέ μου ἀπολέσαι τὸν
269 W. κακοῦργον οὐκ ἠθέλησεν· ἀλλὰ σὺ ἀπελθὼν συμβούλευσον αὐτῇ ἀποκλίνειν πρὸς τὸν ἴδιον ἄνδρα καὶ τῶν τοῦ φαρμακοῦ ματαίων λόγων ἀποσχέσθαι.'

ἀναστᾶσα δὲ ἡ Τερτία εἰς τὴν τοῦ Χαρισίου ἀπῄει οἰκίαν· καὶ εὗρεν τὴν Μυγδονίαν χαμαὶ κειμένην ἐν ταπεινότητι· ὑπεβέβλητο δὲ αὐτῇ τέφρα καὶ σάκκος, ηὔχετο δὲ ὅπως ὁ κύριος αὐτῇ συγχωρήσῃ τὰς προτέρας αὐτῆς ἁμαρτίας, καὶ τάχιον τοῦδε τοῦ βίου ἐξέλθῃ.

καὶ λέγει πρὸς αὐτὴν ἡ Τερτία· ,Μυγδονία, ἀδελφή μου ποθουμένη καὶ συνόμιλε, τί τὸ ἐν σοὶ αἴτιον; τίς ἡ καταλαβοῦσά σε νόσος; καὶ τί μεμηνότων ἔργα ποιεῖς; ἐπάνελθε εἰς τὴν ἑαυτῆς ἐπάνοδον· πλησίασον τῷ γένει σου καὶ σύνελθε τῷ ἀληθινῷ σου ἀνδρὶ Χαρισίῳ.' λέγει αὐτῇ ἡ Μυγδονία· ,ὦ Τερτία, οὔπω τοῦ κήρυκος ἤκουσας τῆς ζωῆς· οὔπω ταῖς σαῖς προσέπεσεν ἀκοαῖς, οὐδὲ τοῦ τῆς ζωῆς ἐγεύσω φαρμάκου, καὶ τῶν φθαρτικῶν στεναγμῶν ἀπηλλάγης· ἑστῶσα γὰρ ἐν τῇ προσκαίρῳ ταύτῃ ζωῇ οὐ μὴ τὴν σωτήριον καὶ ἀίδιον θεάσῃ ζωήν, οὐδὲ τῆς ἀφθάρτου ἀξιωθῇς κοινωνίας. ἵστασαι ἐνδεδυμένη πέπλους παλαιουμένους, καὶ τῶν αἰωνίων οὐκ ἐπιθυμεῖς· καὶ μεγάλα μὲν φρονεῖς ἐπὶ τῷ ἀφανιζομένῳ τούτῳ κάλλει, τῆς δὲ ψυχῆς τὴν αἰσχρότητα οὐ φροντίζεις· καὶ πλήθει μὲν οἰκετῶν πλουτεῖς καὶ
270 W. τῇ παρὰ πολλῶν δόξῃ κομᾷς, τῆς δὲ εἰς θάνατον κατακρίσεως ἑαυτὴν οὐ λυτροῦσαι.'

ταῦτα δὲ ἡ Τερτία παρὰ τῆς Μυγδονίας ἀκούσασα εἶπεν· ,δέομαί σου, ἀδελφή, ἀπάγαγέ με πρὸς τὸν ξένον ἐκεῖνον τὸν τὰ μεγαλεῖα ταῦτα διδάσκοντα, ἵνα ἀπελθοῦσα κἀγὼ ἀκούσω αὐτοῦ καὶ διδαχθῶ σέβειν ὃν κηρύσσει θεόν, καὶ τῶν εὐχῶν αὐτοῦ γενήσομαι κοινωνός, καὶ μέτοχος γένωμαι πάντων ὧν εἴρηκάς μοι.' ἡ δὲ Μυγδονία λέγει αὐτῇ· ,ἐν τῷ οἴκῳ ἐστὶν Σιφόρου τοῦ στρατηλάτου· καὶ γὰρ αὐτὸς γέγονε πρόφασις τοῖς ἐν τῇ Ἰνδίᾳ σῳζομένοις.' τοῦτο δὲ ἀκούσασα ἡ Τερτία δρομαία εἰς τὸν οἶκον Σιφόρου ἀπῄει. ἀπελθούσης δὲ

4 τοῖς] scr καὶ τοῖς? | scr διαζευχθῆναι ‖ 5 τος uoc θελήσαντος in ras P ‖ 6 ἀπελθὼν] cf 75, 19. 20 al ‖ 12 τάχειον P ‖ 16 cf syr ‖ 18 μερτία (sed del μ et app in mg τ) P ‖ 22 ἀξιωθεὶς P ‖ 30 διδσκοντα (alt δ in extr uersu euan: ά deest) P ‖ 31 κηρύσσω sed del ω et app ει in mg P ‖ 32 γένομαι P ‖ 35 δρομέα P | ἀπίει P

αὐτῆς εἶπεν αὐτῇ Ἰούδας· ,τί ἐλήλυθας ξένον ἰδεῖν ἄνθρωπον καὶ πένητα καὶ εὐκαταφρόνητον καὶ πτωχόν, μήτε πλοῦτον ἔχοντα μήτε κτῆσιν; ἓν δὲ κέκτημαι κτῆμα ὅπερ οὔτε βασιλεὺς οὔτε ἄρχοντες ἀφελέσθαι δύνανται, μήτε φθειρόμενον μήτε λήγοντα, ὅς ἐστιν σωτὴρ Ἰησοῦς πάσης ἀνθρωπότητος, ὁ τοῦ ζῶντος θεοῦ υἱός, ὁ δεδωκὼς ζωὴν πᾶσιν τοῖς εἰς αὐτὸν πιστεύουσιν καὶ καταφεύγουσιν εἰς αὐτόν.'

πρὸς ὃν ἡ Τερτία λέγει· ,γένωμαι κοινωνὸς τῆς ζωῆς ταύτης ἣν ἐπαγγέλλῃ δέξασθαι πάντας τοὺς συνερχομένους εἰς τὸ τοῦ θεοῦ καταγώγιον.' καὶ ὁ ἀπόστολος εἶπεν· ,τὸ ταμιεῖον τοῦ ἁγίου βασιλέως ἀναπέπταται, καὶ οἱ ἀξίως μεταλαμβάνοντες τῶν ἐκεῖ ἀγαθῶν ἀναπαύονται καὶ ἀναπαυόμενοι βασιλεύουσιν. οὐδεὶς δὲ πρόσεισιν 271 W.
αὐτῷ ἀκάθαρτος ὢν καὶ φαῦλος· οἶδεν γὰρ αὐτὸς τὰ ἐνκάρδια ἡμῶν καὶ τὰ τῆς ἐνθυμήσεως βάθη· καὶ οὐκ ἔστιν τινὰ λαθεῖν αὐτόν. καὶ σὺ τοίνυν, εἰ ἀληθῶς πιστεύεις εἰς αὐτόν, ἀξία τῶν αὐτοῦ γενοῦ μυστηρίων· καὶ αὐτός σε μεγαλυνεῖ καὶ πλουτιεῖ καὶ κληρονόμον τῆς ἑαυτοῦ βασιλείας ποιήσει.'

ταῦτα δὲ ἡ Τερτία ἀκούσασα ἐπανῆλθεν οἴκαδε γεγηθυῖα· καὶ εὗρεν αὐτῆς τὸν ἄνδρα κατὰ τὸ ἄριστον αὐτὴν ἐκδεχόμενον. ἰδὼν δὲ αὐτὴν τοῖς ποσὶν πρὸς αὐτὸν ἐπανιόντα ὁ Μισδαῖος ἔφη· ,διὰ τί οὕτως πεζοβατῶν εἰς ἡμᾶς ἐπανῆκας; ὃ καὶ ἀπρεπὲς τυγχάνει ἐν σοί.' καὶ λέγει αὐτῷ ἡ Τερτία· ,χάριν σοι μεγίστην ὀφείλω διότι με πρὸς Μυγδονίαν ἀπέστειλας. ἀπελθοῦσα γὰρ καινῆς ζωῆς ἤκουσα, καὶ εἶδον καὶ τὸν καινὸν τοῦ θεοῦ ἀπόστολον τοῦ διδόντος ζωὴν τοῖς πιστεύουσιν αὐτῷ, εἰς ὃν καὶ τὰ πράγματα πληροῖν οἴδασι· ἀλλὰ καὶ σὲ τὸν ἐμὸν φίλτατον παραινῶ ἵνα τοῖς τοῦ ἀποστόλου πεισθῇς ῥήμασιν καὶ μέτοχος καὶ αὐτὸς ἐκείνου γενήσῃ. ἔστι γὰρ ἐν οὐρανῷ βασιλεὺς μέγας· ἐὰν ἐκείνῳ διὰ τοῦ ἀποστόλου πεισθῇς καὶ ἅγιον σεαυτὸν τῷ ζῶντι φυλάξῃς θεῷ, τῆς ἐκείνου μέτοχος βασιλείας γενήσῃ τῆς μηδέποτε παρερχομένης.'

ταῦτα ὁ Μισδαῖος παρὰ τῆς αὐτοῦ συμβίου ἀκούσας ταῖς χερσὶν 272 W.
τὸ πρόσωπον αὐτοῦ ἐπάταξε, καὶ τὴν ἐσθῆτα αὐτοῦ διέρρηξε, καὶ εἶπεν· ,μὴ ἀναπαύοιτο ἡ Χαρισίου ψυχή, ὅτι με εἰς ψυχὴν ἔβλαψεν· καὶ μὴ εὕρῃ ἐλπίδα, ὅτι τὴν ἐμὴν περιεῖλεν ἐλπίδα.' καὶ ἐξῄει τεταραγμένος. καὶ εὗρεν κατὰ τὴν ἀγορὰν Χαρίσιον καὶ εἶπεν· ,διὰ τί με ζῶντα εἰς τὸν ᾅδην ἔβαλες; διὰ τί με ἐζημίωσας κερδάνας μηδέν;

---

4 ληζόμενον syr? ‖ 7 γένομαι P ‖ 15 μεγαλύνει P ‖ 19 et 20 cf 74, 6 ‖ 23 ἴδον P | scr τὸν τοῦ καινοῦ ϑ.? ‖ 24 εἰς — οἴδ.] scr καὶ τὰ προστάγματα αὐτοῦ πληροῦσιν? cf syr ‖ 25 τ prius uoc φίλτατον ex ο corr P | πεισθεὶσ P ‖ 27 scr ἁγνὸν? cf syr et 11, 22. 37, 29 ‖ 33 scr εὕροι?

διὰ τί με ἔβλαψας μηδὲν σὺ ὠφεληθείς; διὰ τί με ἠδίκησας αὐτὸς τὸ δίκαιον μὴ κτησάμενος; διὰ τί με οὐ συνεχώρησας ἀπολέσαι ἐκεῖνον τὸν φαρμακὸν πρὶν τὸν ἐμὸν οἶκον τῇ ἑαυτοῦ ἁμαρτίᾳ διαφθεῖραι;‘ καὶ τὸ πᾶν εἴχετο Χαρισίου.

ὁ δὲ Χαρίσιος λέγει· ‚τί δέ σοι συνέβη;‘ καὶ ὁ Μισδαῖος ἔφη· ‚τὴν Τερτίαν ἐφαρμάκευσεν ἐκεῖνος ὁ μάγος.‘ καὶ ἀπήεισαν ἀμφότεροι εἰς τὴν οἰκίαν Σιφόρου τοῦ στρατηλάτου· καὶ εὗρον τὸν Ἰούδαν καθήμενον καὶ διδάσκοντα. πάντες δὲ οἱ ἐκεῖ ὑπεξανέστησαν τῷ βασιλεῖ, αὐτὸς δὲ οὐκ ἀνέστη. ἔγνω δὲ ὁ Μισδαῖος ὅτι αὐτὸς ἐκεῖνός ἐστιν, καὶ λαβόμενος τοῦ θρόνου ἔστρεψεν αὐτόν, καὶ ἀμφοτέραις ταῖς χερσὶν τὸν θρόνον ἀράμενος κατὰ τῆς κεφαλῆς ἔφερεν τοῦ ἁγίου· καὶ οὕτως αὐτὸς ἔκρουσεν ὥστε καὶ τραυματίσαι αὐτόν. καὶ παρέδωκεν αὐτὸν τοῖς αὐτοῦ στρατιώταις εἰπών· ‚σύραντες αὐτὸν τῶν ἐνθένδε ἀτίμως εἰς τὸ μέσον τῆς ἀγορᾶς ἀπάγετε, ἀσφαλῶς τοῦτον κατέχοντες.‘ καὶ ἀπήγαγον τὸν ἀπόστολον ἐν ᾧ εἴωθεν ὁ Μισδαῖος
273 W. δικάζειν, ὑπὸ τῶν στρατιωτῶν τοῦ Μισδαίου κρατούμενος.

(πρᾶξις ιβʹ περὶ Οὐαζάνου υἱοῦ Μισδαίου)

Οὐαζάνης δὲ ὁ τοῦ Μισδαίου υἱὸς προσελθὼν τοῖς στρατιώταις εἶπεν· ‚δότε μοι τοῦτον ἵνα διαλεχθῶ, ἕως ἂν ὁ βασιλεὺς ἀφίκηται.‘ καὶ δεδώκασιν αὐτόν. αὐτὸς δὲ εἰσήγαγεν αὐτὸν ἔνθα ὁ πατὴρ αὐτοῦ ὁ βασιλεὺς ἐδίκαζεν. καὶ λέγει Οὐαζάνης· ‚ἐγώ εἰμι υἱὸς Μισδαίου τοῦ βασιλέως, καὶ ἔξεστί μοι λέγειν τῷ βασιλεῖ εἰς ὃ καὶ βούλομαι, καὶ τὸ ζῆν σοι παρέξει. λέγε οὖν μοι τίς ἐστιν ὁ θεός σου καὶ τίνος ἀντέχῃ δυνάμεως καὶ σεμνύναι· εἰ γάρ τις γοητεία ἐστὶν δύναμις καὶ τέχνη, δίδαξον, κἀγώ σε ἀπολύω.‘

λέγει αὐτῷ ὁ Ἰούδας· ‚σὺ εἶ ὁ υἱὸς Μισδαίου τοῦ βασιλέως ὃς καὶ πρόσκαιρος βασιλεὺς οἶδεν τυγχάνειν· ἐγὼ δὲ δοῦλός εἰμι Ἰησοῦ Χριστοῦ βασιλέως αἰωνίου· καὶ σοὶ μὲν ἔστιν εἰπεῖν τῷ σῷ πατρὶ σῷσαι οὓς θέλεις ἐν ταύτῃ τῇ προσκαίρῳ ζωῇ· ἐγὼ δὲ δέομαι τοῦ ἐμοῦ κυρίου καὶ ἀντιβοῶ ὑπὲρ τῶν ἀνθρώπων, καὶ δίδωσιν αὐτοῖς καινὴν ζωήν. καὶ σὺ αὐχεῖς ἐπὶ κτήμασιν καὶ δούλοις καὶ πέπλοις καὶ τρυφῇ καὶ κοίταις μιαραῖς, ἐγὼ δὲ καυχῶμαι ἐπὶ πενίᾳ καὶ φιλοσοφίᾳ καὶ ταπεινότητι καὶ νηστείᾳ καὶ εὐχῇ καὶ τῇ κοινωνίᾳ τοῦ
274 W. ἁγίου πνεύματος καὶ τῇ ὁμιλίᾳ πρὸς τοὺς ἀδελφοὺς τοὺς ἀξίους τοῦ

3 ὑμ.] scr φαρμακείᾳ? μαγείᾳ? ‖ 6 τερτετίαν P | ἀπίησαν P ‖ 9 scr οὗτος ἐκ.? ‖ 13 τῶν (sic) del P: cf 79, 26 ‖ 15 scr εἰώθει? cf 57, 21 ‖ 16 scr κρατούμενον ‖ 22 del εἰς? ‖ 24 scr σεμνύνῃ? | scr γοητείας? ‖ 30 scr ἀντιβολῶ?

θεοῦ· καὶ καυχῶμαι καὶ ἐπὶ αἰωνίᾳ ζωῇ. καὶ σὺ μὲν ἐπ᾽ ἄνθρωπον ἀφορᾷ τὸν μὴ δυνάμενον τὴν ἑαυτοῦ σῷσαι ψυχὴν ἐκ κρίσεως καὶ θανάτου, ἐγὼ δὲ κατέφυγα ἐπὶ θεὸν ζῶντα, ἐπὶ τὸν σωτῆρα βασιλέων καὶ ἀρχόντων, ὅς ἐστιν πάντων κριτής. καὶ ὑμεῖς μὲν σήμερον ἴσως ἐστέ, αὔριον δὲ οὐκέτι, ἐγὼ δὲ κατέφυγον εἰς ἐκεῖνον ὃς εἰς αἰῶνα μένει, γινώσκοντος πάντας τοὺς καιροὺς ἡμῶν καὶ τοὺς χρόνους.‘

ὁ δὲ νεανίσκος ἐν τούτοις τοῖς λόγοις πεισθεὶς καὶ πιστεύσας ἐζήτει πρόφασιν ὅπως τὸν Θωμᾶν φυγαδεύσῃ. διαλογιζομένου δὲ περὶ τούτου παρεγένετο καὶ ὁ βασιλεύς· καὶ λαβόντες τὸν Θωμᾶν οἱ στρατιῶται ἔστησαν ἐνώπιον τοῦ βασιλέως. συναπήει δὲ καὶ ὁ Οὐαζάνης ὁ τοῦ βασιλέως υἱὸς καὶ παρ᾽ αὐτῷ ἕστηκεν. καὶ λέγει ὁ βασιλεύς· ‚εἰπέ μοι τίς εἶ καὶ ποίᾳ δυνάμει ταῦτα ποιεῖς;‘ ὁ δὲ Ἰούδας λέγει· ‚ἄνθρωπός εἰμι κατὰ σέ, δυνάμει Ἰησοῦ Χριστοῦ 275 W. ποιῶν ταῦτα.‘ καὶ ὁ Μισδαῖος· ‚τὴν ἀλήθειαν εἰπέ, πρὶν ἤ σε ἀπολέσω.‘ καὶ ὁ Ἰούδας λέγει· ‚οὐκ ἔχεις ἐξουσίαν ὡς νομίζεις κατ᾽ ἐμοῦ, καὶ οὐδέν με βλάψεις.‘

ἀγανακτήσας δὲ ἐπὶ τῷ λόγῳ ὁ βασιλεὺς ἐκέλευσεν πλάκας πυρῶσαι καὶ ἐπάνω αὐτῶν ἀνυπόδετον στῆσαι αὐτόν· ὑπολυόντων δὲ τῶν στρατιωτῶν τὸν ἀπόστολον ἔλεγεν ὁ ἀπόστολος· ‚σύ, κύριε βασιλεῦ, ἀντιστήτω τῷ τοῦδε βασιλέως θυμῷ.‘ ἐνέγκαντες δὲ τὰς πλάκας πεπυρωμένας ἔστησαν ἐπάνω αὐτῶν τὸν ἀπόστολον. καὶ εὐθέως ὕδωρ ἐκ τῆς γῆς ἀνέβλυσεν ὥστε τὰς πλάκας καταποθῆναι· καὶ οἱ κρατοῦντες αὐτὸν ἐάσαντες ἀνεχώρησαν.

ἰδὼν δὲ ὁ βασιλεὺς τὸ πλῆθος τῶν ὑδάτων λέγει τῷ Ἰούδᾳ· ‚δεήθητι τοῦ θεοῦ σου ἵνα ἐκ τούτου με ῥύσηται τοῦ θανάτου, ἵνα μὴ τῷ κατακλυσμῷ ἀπόλωμαι.‘ ὁ δὲ ἀπόστολος ηὔξατο λέγων· ‚ὁ δεσμεύσας τὴν φύσιν ταύτην καὶ εἰς ἕνα συναγαγὼν τόπον καὶ εἰς διαφόρους ἐκπέμπων χώρας· ὁ ἐξ ἀταξίας εἰς τάξιν μεταγαγών· ὁ διδοὺς μεγαλεῖα καὶ θαυμάσια μεγάλα διὰ τῶν χειρῶν τοῦ δούλου σου Ἰούδα· σὺ κατάπαυσον τὸ στοιχεῖον τοῦτο, ἵνα μὴ τοὺς πιστοὺς 276 W. διαφθείρῃ· καὶ γὰρ εἰσίν τινες τῶν ὧδε ἑστώτων οἵτινες κατὰ τὸ σὸν ζήσωσιν ὄνομα.‘

εὐξαμένου δὲ αὐτοῦ κατ᾽ ὀλίγον τὸ ὕδωρ ἀνηλώθη, ξηρὸς πάλιν ὁ τόπος γενόμενος. ἰδὼν δὲ ταῦτα ὁ Μισδαῖος προσέταξεν εἰς τὸ δεσμωτήριον αὐτὸν ἀχθῆναι ἕως οὗ σκέψηται τὰ κατ᾽ αὐτόν.

---

2 scr ἀφορᾷς? ‖ 6 scr γινώσκοντα? ‖ 10 συναπίει P ‖ 17 τῷ] scr τούτῳ τῷ? ‖ 20 βασιλεῦ] scr βασ. βασιλέων uel βασ. οὐράνιε? sed plura interciderunt, cf syr | scr τοῦδε τοῦ β.? an del βασ.? τῶνδε syr ‖ 32 scr ζήσουσιν?

ἀπαγομένου δὲ τοῦ Ἰούδα ἐν τῇ φυλακῇ πάντες αὐτῷ ἠκολούθουν, καὶ Οὐαζάνης τοῦ βασιλέως υἱὸς πρὸς τὰ δεξιὰ αὐτοῦ ἐβάδιζεν καὶ ὁ Σίφωρ εἰς τὰ ἀριστερά. εἰσελθὼν δὲ εἰς τὸ δεσμωτήριον ἐκαθέσθη, καὶ ὁ Οὐαζάνης καὶ ὁ Σιφὼρ σὺν αὐτοῖς, καὶ αἱ γυναῖκες, ἥ τε τοῦ Σιφὼρ γυνὴ καὶ ἡ τούτων θυγάτηρ. ὁ δὲ Ἰούδας ἤρξατο λέγειν· ‚ἰδού, χαίρω καὶ θάλλω, εἰδὼς ὅτι ὁ καιρὸς ἤδη τῆς 277 W. ἀναλύσεώς μου πάρεστιν, ἵνα ἀπελθὼν ἐκεῖ τὸν ἄφθαρτον στέφανον ἀπολάβω· ἰδού, ἀποθνῄσκω καὶ ἀναβιῶ μηκέτι θανάτου γευόμενος· ἰδού, βασιλεύω βασιλείαν ἐφ' ἣν ἐντεῦθεν ἤλπισα· ἰδού, πίπτουσιν οἱ ἀνυπότακτοι πρὸ ἐμοῦ, ὅτι αὐτοὺς ἐξέφυγον· ἰδού, γέγονεν εἰρήνη ἣν πάντες ἀπαντῶσιν.‘

λέγοντος δὲ τοῦ ἀποστόλου ταῦτα πάντες τῶν αὐτοῦ ἠκροῶντο 283 W. ῥημάτων. Οὐαζάνης δὲ ὁ νεανίσκος ἐδέετο τοῦ ἀποστόλου λέγων· ‚δέομαί σου, ἀπόστολε τοῦ θεοῦ, συγχώρησόν μοι ἀπελθεῖν, καὶ τὸν δεσμοφύλακα εἴπω ἵνα σοι συγχωρήσῃ μετ' ἐμοῦ οἴκαδε ἀπελθεῖν, ὅπως τὴν ἐν Χριστῷ διὰ σοῦ λάβω σφραγῖδα, καὶ σοῦ ὑπηρέτης γενήσομαι καὶ φύλαξ τῶν ἐντολῶν τοῦ θεοῦ ὃν σὺ οἶδας κηρύττειν. καὶ γὰρ πρότερον κατὰ τὸ σὸν ἀνεστρεφόμην ἐγὼ κήρυγμα, ἕως οὗ ὁ ἐμὸς πατὴρ βιασάμενός με γυναικὶ συνῆψεν Ἀνισάρᾳ λεγομένῃ· ὢν 284 W. γὰρ πρώτου καὶ εἰκοστοῦ ἔτους, ἔγημαι τῇ προειρημένῃ ὡς εἶπόν σοι Ἀνισάρᾳ· ἕβδομον δὲ μετὰ τοῦτο κατέλαβον ἐνιαυτὸν ἀφ' οὗ καὶ τὴν Σισάρα ἔσχον γυναῖκα· πρὸ τοῦ δὲ ταύτην λαβεῖν με οὐ πρὸς ἑτέραν γινώσκω ἔχειν γυναῖκα· ἀλλ' ἰδοὺ καὶ χρόνος ἤδη πεπέρακεν καὶ οὐ τὸ σύνολον μετ' αὐτῆς συγκαθεύδηκα· ἀλλὰ καὶ αὐτὴ ἐν σωφροσύνῃ ὅλον τὸν χρόνον συνζῇ μοι, τὸν ὡς εἶπόν σοι ὅλον ἐνιαυτόν. ἀλλὰ καὶ τῶν σῶν καὶ αὐτὴ ἀπηκροῶτο ῥημάτων καὶ σὺν ἐμοὶ καὶ αὐτὴ τῷ θεῷ σου πεπίστευκεν, καὶ οὐκ οἶδ' ὅπως ἐν κινδύνῳ καὶ ἐν κακώσει πολλῇ ἐξετάζεται. καὶ εἰ κελεύεις, πείθω τὸν φύλακα καὶ κατὰ τὴν ἐμὴν ἀγάγω σε οἰκίαν, καὶ σὺν ἐμοὶ καὶ τὴν ἀθλίαν θεραπεύσεις ἐκείνην.‘

ταῦτα ὁ ἀπόστολος τοῦ ὑψίστου ἀκούσας εἶπεν τῷ Οὐαζάνῃ· ‚εἰ πιστεύεις, ὄψῃ τὰ θαύματα τοῦ θεοῦ καὶ πῶς οἶδεν τοὺς αὐτοῦ σῴζειν δούλους.‘ διαλεγομένων δὲ αὐτῶν ταῦτα Τερτία καὶ Μυγδονία καὶ Μαρκία ἐν τῇ θύρᾳ παρίσταντο τοῦ δεσμωτηρίου, καὶ τριακοσίους ἑξήκοντα τρεῖς τῷ δεσμοφύλακι στατῆρας παρέξασαι ἀργυρίου εἰσῆλθον

4 scr αὐτῷ? ‖ 6 scr ἀγαλλιῶ? cf 20, 32. 65, 12 ‖ 14-15 τῷ δεσμοφύλακι? cf tamen syr ‖ 20 nec ἔγημε nec ἔγημα satisfacit. etiam q seq corrupta uid | ὡς ε. σ.] cf 12, 34. 36. 18, 39. 78, 25 ‖ 21 α prius uoc κατέλαβον in ras P ‖ 22 γυναῖκαν sed del ν P | οὔπως ἑτ. Vsener ‖ 22-23 οὐκ ἔγνων ἑτ. γυν. syr ‖ 25 del τὸν ὡς — ἐν.? ‖ 26 scr ἂν ἠκροᾶτο? cf syr ‖ 29 ἀγαγῶ P

πρὸς τὸν Ἰούδαν. καὶ εὗρον τὸν Οὐαζάνην καὶ τὸν Σιφόρα καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὴν θυγατέρα καὶ πάντας τοὺς δεσμώτας καθημένους καὶ τοῦ λόγου ἀκούοντας. καὶ ὡς ἔστησαν πρὸς αὐτόν, εἶπεν αὐταῖς· ‚τίς ὑμῖν συνεχώρησεν εἰσελθεῖν πρὸς ἡμᾶς τῶν θυρῶν τῆς φυλακῆς κεκλεισμένων;‘ λέγει αὐτῷ Τερτία· ‚οὐ σὺ ἀνεπέτασας τὰς θύρας ἡμῖν εἰσελθεῖν εἰπὼν εἰς τὸ δεσμωτήριον, ἵνα τοὺς ἀδελφοὺς ἡμῶν τοὺς ἐκεῖ καταλάβωμεν; καὶ πλησίον τῆς θύρας γενομένων 285 W. ἡμῶν οὐκ οἶδα πῶς ἐχωρίσθης ἀφ᾽ ἡμῶν καὶ ἀποκρυβεὶς ἐνθάδε εἰσῆλθες. ἀλλ᾽ οὖν χρήματα τοῖς φύλαξιν δοῦσαι τοῖς σοῖς κατελάβομεν ἴχνεσιν, ὅπως πεισθέντα σε φυγαδεύσωμεν ἕως οὗ ὁ τοῦ βασιλέως εἰς σὲ λήξῃ θυμός.‘ καὶ ὁ Θωμᾶς πρὸς αὐτάς· ‚εἴπατε πρότερον πῶς συνεκλείσθητε μεθ᾽ ἡμῶν ὧδε.‘ καὶ λέγουσι τῷ ἀποστόλῳ· ‚σὺ μεθ᾽ ἡμῶν πάντοτε ἦς καὶ οὐδὲ μίαν ὥραν τυγχάνειν διέλιπες μεθ᾽ ἡμῶν, καὶ ἐρωτᾷς ποίῳ συνεκλείσθημεν ὧδέ σοι τρόπῳ;‘ καὶ λέγει πρὸς τὸν ἀπόστολον ἡ Τερτία ἡ τοῦ Μισδαίου γυνή· ‚μεταπεμψάμενός με ὁ βασιλεὺς Μισδαῖος λέγει μοι ὅτι οὐδέπω σοι περιγέγονεν ὁ μάγος ἐκεῖνος· καὶ γὰρ ὡς ἀκούω δι᾽ ἐλαίου καὶ ὕδατος καὶ ἄρτου περιγίνεται τοῖς ἀνθρώποις καὶ μαγεύει. καὶ ἐπεὶ τούτων ἀκμὴν ἐξ ἐκείνου οὐ μετέλαβες, οὔτε γοητεία πάντως σοι προεχώρησε, καὶ δέον πεισθῆναί μοι· εἰ δὲ μή γε, σὲ μὲν συγκλείσας ἐκθλίψω, κἀκεῖνον δὲ ἀπολέσω. καὶ πρὸς αὐτὸν εἶπον ἐγώ· τοῦ μὲν σώματός μου ἐξουσίαν ἔχεις, καὶ πᾶν ὅ τι βούλει πρᾶττε· τὴν δὲ ψυχήν μου οὐ συναπολέσω σοι.

ἀκούσας δὲ ταῦτα ἀπέκλεισέν με ἐν οἰκήματι. ἀλλὰ καὶ ὁ Χαρίσιος ἐνεγκὼν τὴν Μυγδονίαν σὺν ἐμοί κατέκλεισεν. ἀλλὰ σὺ 286 W. ἡμῖν παραστὰς ἐξήγαγες καὶ μέχρι τῶν ὧδε παρέστησας. καὶ δεόμεθά σου ἵνα τάχιον τὴν ἐν Χριστῷ σφραγῖδα παρέξεις ἡμῖν.‘

ἀκούσας δὲ ταῦτα ὁ ἀπόστολος εἶπεν· ‚δόξα σοι, Χριστὲ Ἰησοῦ, ὁ παραθαρρύνων καὶ ἐνδυναμῶν ἡμᾶς καὶ χάριν ποιῶν καὶ παραμυθούμενος καὶ παριστάμενος ἡμῖν ἐπὶ πᾶσι τοῖς κινδύνοις καὶ ἐνδυναμῶν τὴν ἀσθένειαν ἡμῶν.‘ λέγοντος δὲ αὐτοῦ ταῦτα ἐλθὼν ὁ δεσμοφύλαξ εἶπεν· ‚ἀπόθεσθε τοὺς λύχνους, ἵνα μή τις ὑμᾶς τῷ βασιλεῖ διαβάλῃ.‘ καὶ τότε ἀποσβέσαντες τοὺς λύχνους εἰς ὕπνον ἐτράπησαν· ὁ δὲ ἀπόστολος τῷ κυρίῳ διελέγετο· ‚καιρὸς λοιπόν ἐστιν, Ἰησοῦ, τῆς σῆς ταχυτῆτος· ἰδοὺ γὰρ οἱ τοῦ σκότους παῖδες ἐν τῷ αὐτῷ καθιοῦσι

---

1 *σιφόραν* sed del *ν* P ‖ 16 scr *σου*? cf 18 ‖ 19 scr *οὐδὲ*? ‖ 25 *σοὶ* P ‖ 27 *τάχειον* P | *σφρα* repet sed del P ‖ 32 scr *ἡμᾶς* ‖ 33 *διαβάλει* P ‖ 35 scr *αὐτῶν*? (*αὐτῶ* P) | *καθίουση* P: *καθίζουσιν ἡμᾶς* syr?

σκότει. σὺ οὖν ἐν φωτὶ τῆς φύσεως ὢν κατάλαμψον ἡμᾶς.‘ καὶ ἐξαίφνης ἔλαμψεν τὸ δεσμωτήριον ὡς ἡ ἡμέρα. πάντων δὲ τῶν ἐν τῷ δεσμωτηρίῳ βαθεῖ ὕπνῳ καθευδόντων μόνοι οἱ τῷ κυρίῳ πεπιστευκότες ἐγρηγορότες ἐτύγχανον.

λέγει οὖν ὁ Ἰούδας τῷ Οὐαζάνῃ· ‚πρόλαβε καὶ εὐτρέπισον ἡμῖν τὰ πρὸς τὴν χρείαν τοῦ ἁγίου βαπτίσματος.‘ λέγει οὖν ὁ Οὐαζάνης· ‚καὶ τίς μοι τοῦ δεσμωτηρίου τὰς θύρας ἀνοίξει; κλείσαντες γὰρ ταύτας οἱ δεσμοφύλακες ἐκοιμήθησαν.‘ καὶ λέγει ὁ Ἰούδας· ‚πίστευσον 287 W. τῷ Ἰησοῦ, καὶ πάντας τὰς θύρας εὕρῃς ἀνεῳγμένας.‘ ὡς δὲ ἐξελθεῖν ἀπῄει, πάντες οἱ σὺν αὐτῷ κατόπιθεν ἠκολούθουν. προελθόντος δὲ τοῦ Οὐαζάνου συνήντησεν τὴν γυναῖκα αὐτοῦ Μνησάραν εἰς τὸ δεσμωτήριον ἐρχομένην. καὶ λέγει ἡ Μνησάρα τῷ Οὐαζάνῃ· ‚ἄδελφέ μου καὶ φίλτατέ μου Οὐαζάνη, σὺ εἶ;‘ λέγει πρὸς αὐτὴν Οὐαζάνης· ‚ναί‘, φησίν. λέγει δὲ πάλιν Οὐαζάνης· ‚σὺ εἶ Μνησάρα;‘ καὶ λέγει Μνησάρα· ‚ναί, κἀγώ εἰμι.‘ ‚καὶ ποῦ τοιαύτην ὥραν βαδίζεις, μάλιστα καὶ κατὰ τοιαύτην ἀωρίαν; πῶς δὲ καὶ ἀναστῆναι ἠδυνήθης;‘ ἡ δὲ εἶπεν· ‚ὁ νεώτερος οὗτος τὴν χεῖρά μοι ἐπιθεὶς ἤγειρέν με, καὶ ὄναρ εἶδον ἵνα ἀπέλθω ὅπου ὁ ξένος κάθηται καὶ τελείως ὑγιάνω.‘ λέγει αὐτῇ ὁ Οὐαζάνης· ‚ποῖος νεώτερός ἐστιν παρὰ σοί;‘ ‚οὐχ ὁρᾷς τὸν ἐκ δεξιῶν μοι χειραγωγοῦντά με;‘

ταῦτα δὲ ἑκατέρων διαλεγομένων Ἰούδας μετὰ Σιφόρου καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῆς θυγατρὸς ἑκατέρων καὶ Τερτίας καὶ Μυγδονίας καὶ Μαρκίας ἦλθον εἰς τὴν Οὐαζάνου οἰκίαν. ἰδοῦσα δὲ Μνησάρα ἡ Ἰουαζάνου γυνὴ προσεκύνησε καὶ εἶπεν· ‚ἦλθες, ὁ σωτὴρ ἡμῶν ἀπὸ τοῦ δυσκόλου νοσήματος; σὺ εἶ ὃν εἶδον ἐν νυκτὶ παραδιδόντα μοι τὸν νεώτερον τοῦτον, ἀγαγεῖν με εἰς τὸ δεσμωτήριον. ἀλλ᾽ οὐκ εἴασεν ἡ χρηστότης σου καμεῖν με, σὺ δὲ αὐτὸς ἦλθες πρός με.‘

εἰποῦσα δὲ ταῦτα καὶ εἰς τὰ ὀπίσω ἐπιστραφεῖσα οὐκέτι εἶδεν τὸν νεώτερον. καὶ μὴ εὑροῦσα λέγει πρὸς τὸν ἀπόστολον· ‚οὐ δύναμαι μόνη βαδίσαι· ὁ γὰρ νεώτερος οὐ πάρεστιν ὃν παρέδωκάς μοι.‘ 288 W. καὶ ὁ ἀπόστολος εἶπεν· ‚ὁ Ἰησοῦς τοῦ λοιποῦ σε χειραγωγήσει.‘ μετὰ ταῦτα ἤρχετο πρὸς αὐτ . . δρόμῳ χρωμένη.

ὡς δὲ εἰσῆλθον εἰς τὴν οἰκίαν Οὐαζάνου υἱοῦ Μισδαίου τοῦ βασιλέως, ἔτι νυκτὸς οὔσης φῶς αὐτοῖς πολὺ περικεχυμένον ἔφαινεν. καὶ τότε ὁ Ἰούδας εὔχεσθαι οὕτως ἀπήρξατο·

---

1 ὢν] σου syr ‖ 4 in ἐγρηγ. prius η ex ω P ‖ 9 εὕρεις P ‖ 10 ἀπίει P ‖ 14 λέγει — O. post εἰμι 15 ponend? ‖ 18 ἴδον P ‖ 28 ἴδεν P ‖ 32 πρὸς αὐτὴν del ην P: πρὸ αὐτῶν syr ‖ 34 ab ἔτι redit R: cf 48, 35 | ἔτι] ἔτι δὲ R | πολὺ om R ‖ 35 ὁ om R | εὐχ. — ἀπ.] ἀρχὴν ἐποιήτω εὐχῆς τοιαύτης R

,ἡ ἐλπὶς τῶν ἀσθενῶν καὶ πεποίθησις· ἡ καταφυγὴ πάντων τῶν κεκμηκότων· ὁ ἄμισθος ἰατρός· ὁ ὑπὲρ παντὸς ἀνθρώπου σταυρωθεὶς καὶ εἰς ᾅδην κατελθὼν μετὰ πολλῆς δυνάμεως καὶ δόξης πολλῆς· οὗ τὴν θέαν οἱ τοῦ θανάτου οὐκ ἤνεγκαν ἄρχοντες, καὶ ἀνελθὼν συνήγαγες πάντας τοὺς εἰς σὲ καταφεύγοντας, καὶ εἰσαγαγὼν εἰς τὴν ἑαυτοῦ ποίμνην τοῖς σοῖς ἐγκατέμιξας προβάτοις· υἱὲ σπλάγχνων, ὁ κατὰ φιλανθρωπίαν ἀποσταλεὶς ἡμῖν υἱὸς ἀπὸ τῆς ἄνω, τῆς τελείας πατρίδος· ὁ κύριος ἁπάντων κτημάτων· ὁ δουλεύων αὐτοῦ τοῖς δούλοις ἵνα ζήσωσιν· ὁ πληρώσας τὴν κτίσιν τοῦ ἑαυτοῦ πλούτου· ὁ πένης, ὁ ἐνδεὴς καὶ ἡμέρας πεινάσας τεσσαράκοντα, ὁ κορεννύων ψυχὰς διψώσας τῶν ἑαυτοῦ ἀγαθῶν· σὺ ἔσο μετὰ Οὐαζάνου υἱοῦ Μισδαίου καὶ Τερτίας καὶ Μνησάρας, καὶ ἑκατέρους εἰς τὴν σὴν μάνδραν συνάγαγε τῷ ἀριθμῷ ἐγκαταμίγων τῷ σῷ· ἔσο αὐτῶν ὁδηγὸς ἐν χώρᾳ πλάνης· ἔσο αὐτῶν ἰατρὸς ἐν καιρῷ νοσήματος· ἔσο αὐτῶν 289 W. ἀνάπαυσις ἐν χώρᾳ καμνόντων· ἁγίασον αὐτοὺς ἐν τῷ σῷ ὀνόματι· ἔσο ἰατρὸς αὐτῶν ψυχῇ τε καὶ σώματι· ποίησον αὐτοὺς ναοὺς τοῦ ἁγίου σου πνεύματος.'

οὕτως αὐτοῖς εὐξάμενος ὁ ἀπόστολος τῇ Μυγδονίᾳ λέγει· ,ἀπόδυσον τὰς σὰς ἀδελφάς.' ἡ δὲ ἀποδύσασα περιέζωσεν αὐτὰς περιζώματα καὶ προσήγαγεν αὐτάς· Οὐαζάνης δὲ πρότερον προεληλύθει, κἀκεῖναι μετ' αὐτόν. καὶ λαβὼν Ἰούδας ἔλαιον ἐν ἀργυρέῳ ποτηρίῳ ἔλεγεν οὕτως· ,ὁ ὡραιότερος καρπὸς τῶν ἄλλων καρπῶν, εἰς ὃν οὐδεὶς συγκρίνεται ἕτερος· ὁ πάνυ ἐλεήμων, ὃν οἱ ἄνθρωποι ἐνδυόμενοι τοὺς ἑαυτῶν οἴδασι ἀντιπάλους νικᾶν· ὁ στεφανῶν τοὺς νικῶντας καὶ σύμβολον χαρᾶς τούτοις παρέχων· ὁ εὐαγγελισάμενος τοῖς ἀνθρώποις τὴν ἑαυτῶν σωτηρίαν· ὁ διδοὺς φῶς τοῖς ἐν σκότει καὶ τὰ πικρὰ

---

1 ἡ — πάντων] ὁ ἕτεροσ καὶ σύμμαχοσ· καὶ τῶν ἀσθενούντων ἡ ἰσχὺσ καὶ πεποίηκασ τὴν μετρίων καταφυγὴν καὶ καταφύγιον R ‖ 2-9 ὁ ἄμισθος — ζήσωσιν om R ‖ 6-7 cf syr ‖ 6 υἱὲ conpend potuerit υἱὸσ legi P ‖ 9-10 ὁ πένης — τεσσ. om R ‖ 10 κορένων R ‖ 11 ἔσω PR ‖ 11 Οὐαζ.] τοῦ ἀζάνου R ‖ 12-13 ἑκ. — σῷ] συνάγ. αὐτὰσ εἰσ τ. σ. μ. καὶ ἐγκαταμιγνύη αὐτὰσ τῶ σῶ ἀρ. R ‖ 13 scr ἐγκαταμίσγων? | ἔσω P ἔσω γὰρ R | ὁδ.] βοηθὸσ καὶ ὁδ. R ‖ 14 χ. πλ.] χορῶ φωτινω R | ἔσω PR ‖ 14-16 ἐν κ. — αὐτῶν om R ‖ 14 ἔσω P ‖ 15 ὥρᾳ καμάτων Vsener cf tamen syr ‖ 16 ἔσω P | ψυχῶν R | σωμάτων R | τοῦ om R ‖ 17 post πνεύμ. add καὶ οἰκήτω ἐν αὐτοῖσ τὸ ἅγιόν σου πνεῦμα R ‖ 18 οὕτ. αὐτ. om R | ὁ] δὲ ὁ R | εἶπε τῇ μιγδονία R ‖ 19 τ. σάς] σου τὰσ R ‖ 20 scr προσελ. ‖ 20-21 ἐληλύθη κἀκεῖ εἶναι μετ' αὐτῶν. καὶ μετὰ ταῦτα λαβ. ἰούδ. ἐν ἀργυρέω ποτηρίω, ἔβαλεν ἔλαιον καὶ R ‖ 21 ἀργυραίω P ‖ 22 ὡρ.] ὡραῖοσ καὶ R | εἰς ὅν] ὦ R ‖ 23 ἕτ.] ὅλοσ (i e ὅλως) ἕτεροσ R | πάνυ om R ‖ 23-24 ὃν — νικᾶν om R ‖ 24-25 καὶ σύμβ. — παρ. om R ‖ 26-82, 1 ὁ διδ. — γλυκ. om R

μεταβαλὼν εἰς γλυκύτητα· ἐλθέτω, Ἰησοῦ, ἡ νικητικὴ αὐτοῦ δύναμις, ἐνιδρύων τοῦτο τὸ ἔλαιον, καθὰ καὶ ἐν τῷ συγγενεῖ αὐτοῦ ξύλῳ ἡ τότε αὐτοῦ δύναμις, ἧς τὸν λόγον οὐκ ἤνεγκαν οἱ σταυρώσαντές σε· ἐλθέτω δὴ καὶ ἡ δωρεὰ δι᾽ ἧς τοῖς ἐχθροῖς αὐτοῦ ἐμφυσήσας εἰς τὰ ὀπίσω ὑποχωρῆσαι ἐποίησας καὶ πρηνεῖς ἐκ τοῦ πολλοῦ φόβου τούτους καταπεσεῖν· καὶ ἐπιδημῆσαι τῷ ἐλαίῳ καταξίωσον τούτῳ εἰς ὃ καὶ τὸ σὸν ἅγιον ἐπιφημίζεται ὄνομα.'

καὶ ταῦτα εἰπὼν ὁ ἀπόστολος πρῶτον τῇ κεφαλῇ Οὐαζάνου τὸ ἔλαιον ἐπέχεεν, ἔπειτα ταῖς τῶν γυναικῶν λέγων· ,ἐν ὀνόματί σου, Ἰησοῦ Χριστέ, γενέσθω ταῖς ψυχαῖς ταύταις εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ἀποτροπὴν τοῦ ἐναντίου καὶ εἰς σωτηρίαν τῶν ψυχῶν αὐτῶν.' καὶ τὰς μὲν γυναῖκας τῇ Μυγδονίᾳ ἀλεῖψαι ἐκέλευσεν, αὐτὸς δὲ ἤλειψεν τὸν Οὐαζάνην. ἀλείψας δὲ τόν τε Οὐαζάνην καὶ τὰς γυναῖκας ἤγαγεν εἰς ὕδωρ, καὶ ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς
290 W. καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἀνελθόντων δὲ αὐτῶν ἐκ τῶν ὑδάτων λαβὼν ἄρτον καὶ ποτήριον εὐλόγησεν εἰπών· ,τὸ σῶμά σου τὸ ἅγιον τὸ ὑπὲρ ἡμῶν σταυρωθὲν ἐσθίομεν καὶ τὸ αἷμά σου τὸ ὑπὲρ ἡμῶν εἰς σωτηρίαν ἐκχυθὲν πίνομεν· γένηται οὖν ἡμῖν τὸ σῶμά σου σωτηρία καὶ τὸ αἷμά σου εἰς ἄφεσιν ἁμαρτιῶν. ἀντὶ δὲ τῆς χολῆς ἧς ἔπιες δι᾽ ἡμᾶς περιαιρείσθω ἀφ᾽ ἡμῶν ἡ τοῦ διαβόλου χολή· ἀντὶ δὲ πτύσματος οὗ διὰ τὴν ἡμῶν ἐδέξω ἀσθένειαν δρόσον τῆς σῆς χρηστότητος κατάπεμψον· ἀντὶ δὲ τοῦ ἀκανθίνου ἐκείνου στεφάνου στέφανον εἰς ἡμᾶς ἀμαράντινον πάρασχε· ἀντὶ δὲ ἧς ἐνειλήθης σινδόνης τὴν ἀήττητόν σου ἡμᾶς ἔνδυσον δύναμιν· ἀντὶ δὲ μνημείου καινοῦ καὶ ταφῆς ἀνακαινισμὸν τῆς ψυχῆς δεξώμεθα καὶ τοῦ σώματος.'

καὶ κλάσας τὸν ἄρτον καὶ εὐχαριστήσας ἔδωκεν Οὐαζάνῃ καὶ Τερτίᾳ καὶ Μνησάρᾳ καὶ τῇ τοῦ Σιφόρου γυναικὶ καὶ θυγατρὶ λέγων· ,γενέσθω ὑμῖν ἡ εὐχαριστία αὕτη εἰς σωτηρίαν καὶ χαρὰν καὶ ὑγίειαν

---

1 scr μεταβάλλων? ‖ 1-3 ἐλθ. — δύν.] χριστὲ ἰησοῦ· ἐλθάτω σου ἡ νίκη καὶ ἡ δύναμισ· καὶ ἐνιδρύσθω τῷ ἐλαίῳ τούτῳ· ὥσπερ ἠνδρύνθη ἐν τῷ ξύλῳ ἡ ταύτησ δύναμισ R: cf syr ‖ 4 δὴ καὶ] οὖν R ‖ 4-9 δι᾽ ἧς — λέγων] τοῦ ἁγίου πνεύματοσ R ‖ 6 ὃ] ᾧ P ‖ 10 γεν.] καὶ γεν. R ‖ 11 εἰς prius om R ‖ 12 τὰς — ἐκέλ.] ἐκέλευσε τῇ μιγδονία ἀλίψαι αὐτάσ R ‖ 13 τόν — γυν.] αὐτοὺσ R ‖ 14 κατήγαγεν R | καὶ ἐβ. — ὄν.] λέγων ἐν ὀνόματι R ‖ 14-15 τοῦ ter om R ‖ 15 δὲ] οὖν R ‖ 15-16 ἐκ τ. ὑδ. om R ‖ 16 καὶ εἶπεν R ‖ 17 ἐσθίωμεν PR ‖ 18 ἐκχ. εἰσ σ. πίνωμεν· γίνεται R ‖ 19-25 ἀντὶ — σώμ. om R ‖ 23 ο uoc ἀμαράντ. ex ω P ‖ 26 κλάσ. — εὐχαρ.] ταῦτα εἰπὼν κλάσασ καὶ πληρώσασ τὴν εὐχὴν R ‖ 27 σεμνησάρα R | καὶ τῇ τοῦ om R | σημφόρου R | θυγ. λ.] εἶπεν R ‖ 28 ἡμῖν R | εὐχαριστεία R | σωτ. κ. χαρ. καὶ om R

τῶν ψυχῶν ὑμῶν‘. καὶ αὐτοὶ εἶπον τὸ ἀμήν. καὶ φωνὴ ἠκούσθη λέγουσα· ‚ἀμήν· μὴ φοβεῖσθε, ἀλλὰ μόνον πιστεύσατε.‘ οὕτως οὖν 291 W. πράξαντος τοῦ ἀποστόλου ἀπῄει χαίρων ἐν τῇ φυλακῇ.

(Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου Θωμᾶ μαρτυρήσαντος ἐν τῇ Ἰνδίᾳ. εὐλόγησον.)

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνῄει ὁ ἀπόστολος Θωμᾶς ἐπὶ τὸ 235 et 236 T. ἐγκλεισθῆναι· καὶ Τερτία σὺμ Μυγδονίᾳ καὶ Ναρκίᾳ ἀπῄεσαν ἐπὶ τὸ ἐγκλεισθῆναι· ὁ δὲ ἀπόστολος Θωμᾶς εἶπεν πρὸς αὐτὰς τοῦ πλήθους τῶν πεπιστευκότων παρόντος· ‚θυγατέρες καὶ ἀδελφαὶ καὶ σύνδουλοι αἱ εἰς τὸν κύριον καὶ θεόν μου πιστεύσασαι, τοῦ Ἰησοῦ μου ὑπηρέτριαι, ἀκούσατέ μου ἐν ταύτῃ τῇ ἡμέρᾳ· τὸν γὰρ ἐμὸν λόγον παραδίδωμι ὑμῖν, καὶ οὐκέτι διαλεχθήσομαι ὑμῖν ἐν τῇ σαρκὶ ταύτῃ οὐδὲ ἐν τῷ κόσμῳ τούτῳ· ἀνάγομαι γὰρ πρὸς τὸν κύριον καὶ θεόν μου Ἰησοῦν Χριστόν, πρὸς ἐκεῖνον τὸν πωλήσαντά με, πρὸς ἐκεῖνον τὸν ἑαυτὸν ταπεινώσαντα ἕως ἐμοῦ τοῦ μικροῦ

---

1 ὑμῶν om R | τὸ om R ‖ 2 ἀμήν] ἀμὴν λέγω ὑμῖν R ‖ 2-3 οὕτως — ἀποστ.] καὶ μετὰ ταῦτα R ‖ 3 ἀπίει P ἀπείῃ R ‖ 3-7 χαίρ. — ἐγκλ.] ὁ ἰούδασ ἅμα τοῦ συγκληθῆναι· οὐ μὴν ἀλλὰ R ‖ 4 Μαρτύριον] τὸ μ. S quem abhinc contuli (f 150r) | καὶ ἐνδόξου om S ‖ 5 μαρτ. — εὐλ. om S ‖ 6-85, 20 Ἐν — λέγων] Μισδαίου τοῦ βασιλέωσ ἡ γυνή, ἤκουεν τὰ περὶ τοῦ μακαρίου θωμᾶ τοῦ ἀποστόλου· λάθρα δὲ τοῦ ἀνδρὸσ αὐτῆσ μετεστείλατο αὐτόν· καὶ ἤκουσεν τὸν λόγον τοῦ θεοῦ. ἦν δὲ ὄνομα αὐτῇ μυγδονία· ὁμοίωσ δὲ καὶ χαρίσιοσ ὁ ἐπὶ πάσησ τῆσ θεραπείασ τοῦ βασιλέωσ, ἔχων καὶ αὐτὸσ γυναῖκα ὀνόματι τερτιανῇ, ἥτισ καὶ αὐτῇ σὺν τῇ βασιλίσσῃ ἤκουσεν παρὰ τοῦ ἀποστόλου τὸν λόγον τῆσ ἁγνείασ καὶ ἐπίστευσαν τῷ χριστῶ· καὶ συνέθεντο ἀλλήλαισ ἐν ἁγνότητι δουλεύειν τῶ κυρίω· ἔδωκεν γὰρ αὐτὰσ ὁ ἀπόστολοσ τὸ λουτρὸν καὶ τὴν ἐν χριστῷ σφραγίδα· καὶ οὐκ ἔτι ἤρχοντο ἐπὶ βρώσει· οὔτε ἐπὶ κήτῃ (i e κοίτῃ) τῶν ἰδίων ἀνδρῶν· ὁ δὲ βασιλεὺσ ἤρξατο τιμωρεῖν τὴν ἑαυτοῦ γυναῖκα· μανία τῆσ ἀκολασίασ φερόμενοσ. ὁ δὲ χαρήσιοσ γνοὺσ τὰ κατὰ τὸν μακάριον θωμᾶν, ἐμήνυσεν τῷ βασιλεῖ λέγων· τὰσ γυναῖκασ ἡμῶν ἀνέπεισε θωμᾶσ ὥστε μὴ κοινωνεῖν ἡμῖν. ἀλλὰ καὶ τὸν υἱόν σου καὶ πᾶσαν τὴν θεραπείαν σου μεταπείσασ ἠπάτησεν· ἀκούσασ δὲ ταῦτα ὁ βασιλεὺσ μεταπεμψάμενοσ τὸν ἀπόστολον, ἐκέλευσεν ἐκδυθῆναι αὐτὸν καὶ στῆναι γυμνὸν, καὶ λέγει αὐτῷ S ‖ 6 τῶι P ‖ 7 συμμυγδονία (ονι in ras) P καὶ μιγδονία R | μαρκία R ‖ 7-8 ἀπ. καὶ αὐταὶ ἐπὶ τὸ συγκληθῆναι R ‖ 8 τῶ P ‖ 8-9 ὁ δὲ — παρ.] πρὸσ ἃσ εἶπεν ἰούδασ R ‖ 9-11 καὶ ἀδ. — ὑπηρ.] μου δούλαι ἰησοῦ χριστοῦ R ‖ 11-13 μου ἐν — γὰρ] ἐν τῇ τελευτέα μου ἡμέρα· ἐν ὑμῖν ἀποτελῶ τοῦ μὴ λαλῆσαι με ἔτι ἐν σώματι· ἰδοὺ γὰρ αἴρομαι ἄνω R ‖ 13 ἀνάγωμαι P ‖ 14 καὶ θεόν om R | Χρ. π. ἐκ. om R | ἐλεήσαντά R ‖ 15 πρὸς ἐκ. om R | ταπ. ἑαυτὸν R ‖ 15-84, 1 ἕως — κύριον] ἄχρι τῆσ ἐμῆσ σμικρότητοσ R

κύριον καὶ ἀνάξαντά με εἰς μεγαλωσύνην αἰώνιον, τὸν καταξιώσαντά με λάτρην αὐτοῦ γενέσθαι ἐν ἀληθείᾳ καὶ βεβαιότητι. ἀπέρχομαι πρὸς αὐτὸν ἐπιστάμενος ὅτι ὁ καιρὸς συμπεπλήρωται καὶ ἤγγικεν ἡ προθεσμία ἵνα ἀπελθὼν ἀπολάβω τοὺς μισθούς μου παρὰ τοῦ κυρίου μου καὶ θεοῦ· δίκαιος γάρ ἐστιν ὁ μισθαποδότης μου ὁ εἰδώς με πῶς δεῖ με λαβεῖν τὸν μισθόν· οὔτε γὰρ πονηρός ἐστιν οὔτε φθονερός· πλούσιος δέ ἐστιν ἐν τοῖς αὐτοῦ χαρίσμασιν· οὐκ ἔστιν φιλόδολος ἐν οἷς δίδωσιν· τεθάρρηκε γὰρ τῇ ἀνυστερήτῳ αὐτοῦ κτήσει. οὐκ εἰμὶ ἐγὼ Ἰησοῦς, δοῦλος δὲ αὐτοῦ εἰμι· οὐκ εἰμὶ ἐγὼ Χριστός, διάκονος δὲ αὐτοῦ ὑπάρχω· οὐκ εἰμὶ ἐγὼ ὁ υἱὸς τοῦ θεοῦ, δέομαι δὲ ἄξιος τοῦ θεοῦ γενέσθαι. ἐμμείνατε τῇ πίστει τοῦ Χριστοῦ· ἐμμείνατε τῇ ἐλπίδι τοῦ υἱοῦ τοῦ θεοῦ· μὴ ἐκκακήσητε πρὸς τὰς θλίψεις μηδὲ διαιρεθῆτε ἐπὰν ἴδητέ με ὑβριζόμενον ἢ ὅτι ἐγκέκλεισμαι·
292 W. αὐτοῦ γὰρ τὸ θέλημα εἰς πέρας ἄγω· εἰ γὰρ καὶ ἠβουλήθην μὴ ἀποθανεῖν, ἐν Χριστῷ οἶδα ὅτι δύναμαι· οὗτος δὲ ὁ νομιζόμενος θάνατος οὐκ ἔστιν θάνατος, ἀλλὰ λύσις ἀπὸ τοῦ σώματός ἐστιν. διὸ χαίρων δέχομαι τὴν τοιαύτην λύσιν τοῦ σώματος, ἵνα ἀπελθὼν ἴδω ἐκεῖνον τὸν εὐπρεπῆ καὶ εὔσπλαγχνον, τὸν ἐπέραστον· πολὺν γὰρ κάματον ὑπέστην ἐν τῇ αὐτοῦ ἐργασίᾳ, καὶ ἐμόχθησα διὰ τὴν αὐτοῦ χάριν τὴν ἐπελθοῦσάν μοι, ἥτις οὐκ ἀπέστη ἀπ' ἐμοῦ.

μὴ οὖν ὑποδύῃ ὑμῖν ὁ σατανᾶς καὶ τὰς ἐνθυμήσεις ὑμῶν διαρπάσῃ· μὴ γένοιτο ἐν ὑμῖν ἐκείνῳ χώρα· ἰσχυρός ἐστιν ὃν ὑμεῖς ὑπεδέξασθε. τὴν τοῦ Χριστοῦ παρουσίαν προσδέχεσθε· ἐλθὼν γὰρ ὑποδέξεται ὑμᾶς· οὗτός ἐστιν ὃν ὄψεσθε ἐρχόμενον.'

ταῦτα τελέσαντος τοῦ ἀποστόλου εἰσῄεσαν εἰς τὸν οἶκον. εἶπεν δὲ ὁ ἀπόστολος Θωμᾶς· ,ὁ σωτὴρ ἡμῶν ὁ πολλὰ παθὼν δι' ἡμᾶς, γινέσθωσαν αἱ θύραι αὗται ὥσπερ ἦσαν, καὶ σφραγῖδες ἐπιτιθῶσιν αὐταῖς.' καὶ καταλείψας αὐτὰς ἀπῄει ἐπὶ τὸ ἐγκλεισθῆναι· αὗται δὲ ἀθυμοῦσαι ἔκλαιον μὴ εἰδυῖαι ὅτι Μισδαῖος ἀπολύει αὐτόν· εὗρεν δὲ

1 κύρ. om syr: recte | ἀγαγόντα R ‖ 1-4 μεγαλ. — μου] διακονίαν τῆσ μεγαλειότητοσ· χαίρω δὲ ὅτι ἐγγὺσ ὁ καιρὸσ τῆσ ἀπαλλαγῆσ τῆσ ἐνταῦθα· ὅπωσ ἀπ. ἀπολάβω μου τὸν μισθὸν ἐν τέλει R ‖ 4-5 παρὰ — θεοῦ om R ‖ 5 μισθαποδότης] ἐμὸσ δεσπότησ R ‖ 5-24 μου — ἐρχόμενον om R ‖ 7 scr φειδωλός? ‖ 8 κτίσει P ‖ 12 ἐκκακίσητε P ‖ 13 αι uoc ἐγκέκλ. in ras P ‖ 25-26 ταῦτα — Θωμ.] πληρῶσας δὲ πρὸσ αὐτοὺσ τὸν λόγον εἰσῆλθεν ἐισ οἶκον σκοτινὸν καὶ εἶπεν R ‖ 26 ἡμῶν] μου R | π. παθ.] ὑπομεῖνας π. R ‖ 27 γενέσθωσαν R | θυγατέραι R ‖ 27-28 σφρ. — αὐταῖς] σεμναὶ ἔσθωσαν ἐν ταῖσ αὐτῶν σφραγίσιν R ‖ 27 scr ἐπιτεθῶσιν ‖ 28-29 αὐτὰς — αὐτόν] τὰσ γυναῖκασ. ἀπῆλθεν ἐν τῷ αὐτοῦ τόπῳ· ἐκεῖναι δὲ ἐλιποῦντο (i e ἐλυποῦντο) καὶ ἔκλαι (sic in extr f 40 r) ἰδυίαι ὅτι ἀπολέσῃ αὐτὸν μισδαῖοσ ὁ βασιλεῦσ· ὁ δὲ ἰούδασ ἀπελθὼν R ‖ 28 τῷ P | leg αὗται? ‖ 29 del μὴ | μήσδαιοσ P | scr ἀπολεῖ aut ἀπολλύει ‖ 29-85, 1 δὲ ὁ ἀπ. om R

ὁ ἀπόστολος τοὺς φύλακας διαμαχομένους καὶ λέγοντας· ,τί ἡμάρτο-
μεν εἰς τοῦτον τὸν μάγον; ἠνέῳξεν γὰρ τὰς θύρας τῇ τέχνῃ αὐτοῦ 293 W.
τῇ μαγικῇ, καὶ ἠβουλήθη πάντας τοὺς κατακλείστους φυγαδεῦσαι.
ἀλλ' ἀπελθόντες ἀνενέγκωμεν τῷ βασιλεῖ, εἴπωμεν δὲ αὐτῷ περὶ τῆς
γυναικὸς αὐτοῦ καὶ τοῦ υἱοῦ αὐτοῦ.'

ταῦτα δὲ διαλογιζομένων αὐτῶν ὁ Θωμᾶς ἡσύχαζεν. ὀρθρίσαντες οὖν ἀπῄεσαν πρὸς τὸν βασιλέα καὶ ἔλεγον αὐτῷ· ,κύριε ἡμῶν βασιλεῦ, τὸν φαρμακὸν ἐκεῖνον ἔκβαλε καὶ ἀλλαχοῦ αὐτὸν κατάκλειστον ποίησον· οὐ δυνάμεθα γὰρ αὐτὸν τηρεῖν· εἰ μὴ γὰρ ἡ σὴ τύχη τὸ δεσμωτήριον ἐφύλαξεν, ἐπίπαντες ἂν οἱ κατάδικοι ἔφυγον· ἤδη γὰρ δεύτερον εὕρομεν τὰς θύρας ἀνεῳγμένας. ἀλλὰ καὶ ἡ γυνή σου, ὦ βασιλεῦ, καὶ ὁ υἱὸς καὶ οἱ λοιποὶ οὐκ ἀφίστανται ἀπ' αὐτοῦ.'

ταῦτα ἀκούσας ὁ βασιλεὺς ἀπελθὼν εὗρεν τὰς ἐπικειμένας σφραγῖ-
δας σῴας· κατεμάνθανε δὲ καὶ τὰς θύρας· καὶ ἔλεγεν τοῖς φύλαξι·
,διὰ τί ψεύδεσθε; αἱ γὰρ σφραγῖδες σῷαί εἰσιν· πῶς εἴπατε ὅτι Τερ-
τία καὶ Μυγδονία ἔρχονται πρὸς αὐτὸν εἰς τὸ δεσμωτήριον;' οἱ δὲ
φύλακες εἶπον· ,ἡμεῖς τὴν ἀλήθειαν εἴπομέν σοι.' ὁ δὲ Μισδαῖος
ἀπελθὼν εἰς τὸ δεσμωτήριον ἐκαθέσθη. μεταπεμψάμενος δὲ τὸν ἀπό-
στολον Θωμᾶν ἐκδύσας αὐτὸν ἔστησεν ἔμπροσθεν αὐτοῦ καὶ ἐξήταζεν
αὐτὸν λέγων· ,δοῦλος εἶ ἢ ἐλεύθερος;' ,δοῦλός εἰμι ἑνὸς μόνου, οὗ 237 T.
σὺ ἐξουσίαν οὐκ ἔχεις.' ὁ δὲ Μισδαῖος εἶπεν πρὸς αὐτόν· ,εἰς ταύτην
τὴν χώραν ὡς φυγὼν ἐλήλυθας;'

---

1 μαχομένους R ‖ 2-3 εἰς — κατακλ.] ὅτι τέχνη ἀνύγη τὰς θύρας τοῦ δεσμωτηρίου ὁ φαρμάκος ἐκεῖνος βουλόμενος τοὺς δεσμότας R ‖ 4 ἀνεν.] μηνύσωμεν R | εἴπ. δὲ αὐτῷ om R | περὶ] scr καὶ περὶ? ‖ 6-7 ταῦτα — βασιλεῦ] λεγόντων δὲ αὐτῶν τῶν δεσμοφυλάκων, ὁ ἰούδας σιωπῇ κατηκροάτω· ἅμα δὲ ἕωθεν ἀναστάντες ἀπῆλθον πρὸς μισδαῖον τὸν βασιλέα καὶ εἶπον· ἀπόλυσον δέσποτα R ‖ 8-11 ἔκβαλε — ἀνεῳγμ.] οὓς γὰρ ἡ σὺ εὐτυχεία δεσμότας συνέσχεν. κλείσαντες ἐν ὥρα τὰς θύρας· καὶ ἐγείρομαι, ἀνεωγμένας αὐτὰς εὑρίσκωμεν R ‖ 8 καὶ] ἢ syr ‖ 10 ἐπεὶ πάντες P: em Vsener cf 94, 27 ‖ 11 εὕρωμεν P ‖ 12 ὦ βασ. om R | κ. οἱ λ.] σου μετὰ τῶν λοιπῶν ἐκείνων R | ἀπ' αὐτοῦ] τοῦ ἀνδρός R ‖ 13 ἀκ. δὲ ταῦτα R ‖ 13-15 ἀπελθ. — τί] ἦλθεν ἐπισκεψάμενος (sic) τὰς σφραγίδας ἃς περιβέβληκεν εἰς τὰς θύρας, καὶ εὗρεν αὐτὰς ὥσπερ ἦσαν· λέγει οὖν τοῖς δεσμοφύλαξιν· τί οὖν R ‖ 14 θ.] θ. κεκλεισμένας Vsener ‖ 15 καὶ γὰρ αἱ R ‖ 15-16 σῷαι — αὐτὸν] αὗται σώαι διατελοῦσιν, καὶ πῶς λέγετε τὴν τερτίαν καὶ τὸν μισδαῖον ἀπέρχεσθαι R ‖ 16 οἱ δὲ] καὶ οἱ R ‖ 17 τὰ (sic) ἀληθὲς εἴπαμέν R | εἴπωμέν P ‖ 17-18 ὁ δὲ Μ. ἀπ.] βασιλεύς· μετὰ δὲ ταῦτα εἰσῆλθεν ὁ βασιλεὺς R ‖ 18 δικαστήριον syr ‖ 18-20 ἐκαθ. — λέγ.] καὶ μετεπέμψαντο (sic) τὸν ἰούδαν· ἐλθόντες (sic) δὲ αὐτοῦ, ἀποζώσαντες αὐτὸν ἔστησαν πρὸ τοῦ βασιλέως· ὁ δὲ μισδαῖος εἶπεν R ‖ 20 εἶ] ὑπάρχεις R | post ἐλεύθερος add καὶ ὁ ἰοῦδας R θωμᾶς εἶπεν S ‖ 20 ἑνὸς ε. δ. R ‖ 20-21 μόνου οὗ σὺ] καὶ τὴν κατ' ἐμοῦ R καὶ μόνου δεσπότου οὗ S ‖ 21 ὁ δὲ] οὐδόλως· καὶ φησὶν ὁ R | εἶπεν π. α.] λέγει αὐτῷ S om R ‖ 21-22 εἰς — ἐλήλ.] δραπετεύσας εἰς ταύτην ἀφήκου τὴν χώραν R ‖ 22 πῶς S syr

ὁ δὲ Θωμᾶς εἶπεν· ,ἐπράθην παρὰ τοῦ δεσπότου μου ἐνθάδε ἵνα πολλοὺς σῴσω καὶ διὰ τῶν σῶν χειρῶν μεταστῶ τοῦτον τὸν κόσμον‘. 294 W. ὁ δὲ Μισδαῖος εἶπεν· ,τίς ἐστιν ὁ κύριός σου, καὶ τί τὸ ὄνομα αὐτοῦ, καὶ ποίας χώρας ἐστίν;‘ ὁ δὲ Θωμᾶς εἶπεν· ,ὁ ἐμὸς κύριος δεσπότης σού ἐστιν καὶ κύριός ἐστιν οὐρανοῦ καὶ γῆς.‘ ὁ δὲ Μισδαῖος λέγει· ,τί τούτου τὸ ὄνομα;‘ λέγει ὁ Θωμᾶς· ,οὐ δύνασαι τὸ ἀληθινὸν μαθεῖν ὄνομα αὐτοῦ ἢ ἀκοῦσαι ἐν τῷ καιρῷ τούτῳ· τὸ δὲ δοθὲν αὐτῷ ὄνομα Ἰησοῦς Χριστός.‘ ὁ δὲ Μισδαῖος λέγει αὐτῷ· ,ἐγὼ οὐκ ἐτάχυνα τοῦ ἀπολέσαι σε, ἀλλὰ μακροθυμίαν πρὸς σὲ πεποίηκα, καὶ τὰ σὰ φάρμακα εἰς πᾶσαν χώραν διεδόθη καὶ ἠκούσθη. ἀλλὰ τοῦτο ποιῶ ἵνα τὰ φάρμακά σου σὺν σοὶ ἀπέλθῃ καὶ ἡ ἡμετέρα πατρὶς τούτων καθαρισθῇ.‘ λέγει πρὸς αὐτὸν ὁ Θωμᾶς· ,ταῦτα τὰ φάρμακα καὶ σὺν ἐμοὶ ἀπέρχεται ἐμοῦ ἐντεῦθεν ἐξορμῶντος καὶ τοῦτο ἔσῃ γινώσκων ὅτι οὐδὲ τῶν ἐνθάδε ἀπολιμπάνομαι.‘

ταῦτα εἰπόντος τοῦ ἀποστόλου ἐσκέπτετο ὁ Μισδαῖος πῶς αὐτὸν θανατώσῃ· διὰ τὸ πολὺν ὄχλον προσέχειν αὐτῷ καὶ ἀκούειν ἐφοβεῖτο· πολλοὶ γὰρ καὶ τῶν ἐξάρχων καὶ τῶν ἐν ὑπεροχῇ ὄντων ἐπίστευσαν εἰς αὐτόν.

---

1 ὁ δὲ] καὶ ὁ R om S | ἰούδασ R | εἶπεν om R | ἐπρ. — ἐνθ.] ἦλθον ἐνταῦθα R ‖ 2 σῴσω] ἐλευθερώσω καὶ σώσω S | καὶ] κἀγὼ R | ἀποστῶ ἀπὸ τοῦ σώματοσ τούτου R μ. ἐκ τοῦ κόσμου τούτου S ‖ 3 ὁ δὲ] λέγει πρὸσ αὐτὸν ὁ R om S | εἶπεν (ν in ras P) om R | σου ἐστὶν ὁ δεσπότησ R | αὐτοῦ om R ‖ 4-6 π. χ. — λέγει] ἐκ π. χ. ὑπάρχησ· καὶ R ‖ 4 ὁ δὲ om S ‖ 5 ἐστιν οὐρ.] τοῦ οὐρ. S | γῆς] τῆσ γῆσ S | ὁ δὲ om S | εἶπεν S ‖ 6 τὸ om S | λ. ὁ Θ.] θωμᾶσ εἶπεν S | Θ.] ἰούδασ constanter R ‖ 6-7 τὸ ἀλ. — ἢ ἀκ.] ἀκοῦσαι τὸν λόγον τοῦ ἀληθινοῦ αὐτοῦ ὀνόματοσ R ἀκ. τὸ ἀληθινὸν αὐτοῦ ὄνομα S ‖ 7 ἐν — τούτῳ om S | τὸ — αὐτῷ] λέγω δέ σοι τὸ πρὸσ καιρὸν αὐτῷ ἐπικληθὲν R | δοθὲν] χρηματισθὲν S ‖ 8 Χρ.] ἐστιν ὁ χρ. R χρ. καλεῖται S | ὁ δὲ] καὶ ὁ R om S | φησὶν R εἶπεν S | αὐτῷ om RS | ἐτάχ.] ὑπήχθην R ἐσπούδασα S | τοῦ om R ‖ 9 σε ἀπ. R ‖ 9-10 ἀλλὰ — ἠκούσθη] ἀλλ' ἠνεσχόμην· σὺ δὲ ἐπίδωσιν ἐποιήσω τῶν σῶν ἔργων ὥστε τὰ φάρμακά σου ἀκουσθῆναι ἐν πάσῃ τῇ χώρᾳ R σὺ δὲ τοῖσ ἔργοισ σου τοῖσ πονηροῖσ, προσθήκην πεποίηκασ· τὰ γὰρ σὰ φάρμ. εἰσ π. τὴν χ. διεδ. S ‖ 10 τοῦτο ποιῶ] καὶ νῦν πράξω τὸ κατὰ σοῦ τέλοσ R ‖ 11 σου τ. φ. R | σὺν σοὶ ἀπ.] συναπόλειται R | ἡ — καθαρ.] κατακυριεύσει τὸ ἔθνοσ ἡμῶν R | καθαρισθείη S ‖ 12 λέγει — Θ.] καὶ ὁ ἰούδασ ἔφη R θωμᾶσ εἶπεν S | τὰ] ἃ λέγεισ R ‖ 12-14 καὶ σ. — ἀπολ.] εὕεσθαί μοι καὶ τῶν ἐντεῦθεν μηδέποτε ἀφιστάμενα ἔσται R ‖ 12 καὶ om S ‖ 13 ἀπ. — ἐξ.] οὐκ απέρχονται ἔνθεν ἐξορμοῦντοσ μου S cf etiam syr | ἔσῃ γιν.] γίνωσκε S ‖ 14 ἐνταῦθα S | scr ἀπολιμπάνονται? ‖ 15-18 ταῦτα — αὐτόν] λεγωμένων δὲ τούτων ὁ μισδαῖοσ ἐβούλετο (sic) ποίῳ τρόπῳ φονεύσει τὸν ἀπόστολον· ἐφοβήτω γὰρ τὸν περιεστῶτα ὄχλον πολλῶν αὐτῶν πιστευσάντων καὶ ἀναστάσ R ‖ 15 εἰπ. τ. ἀπ.] ἀκούσασ ὁ βασιλεὺσ S | ὁ Μισδ. om S ‖ 16 θανατώσει S | διὰ] διὰ γὰρ S | τὸν S ‖ 16 προσ. — ἀκ.] τῶν ὑπηκόων αὐτοῦ S ‖ 17 πολὺ P | καὶ prius om S ‖ 18 εἰς αὐτ.] τῷ κυρίῳ S

παραλαβὼν οὖν αὐτὸν ἐξῄει ἔξω τῆς πόλεως, συναπῄεσαν δὲ αὐτῷ καὶ στρατιῶται ἔνοπλοι· οἱ δὲ λοιποὶ ἐνόμιζον ὅτι ὁ βασιλεὺς μαθεῖν τι θέλει παρ᾽ αὐτοῦ, καὶ ἑστῶτες προσεῖχον. περιπατησάντων 238 T. δὲ μίλιον ἓν παρέδωκεν αὐτὸν τέσσαρσι στρατιώταις καὶ ἑνὶ ἐξάρχῳ παραγγείλας αὐτοὺς ἀγαγεῖν αὐτὸν εἰς τὸ ὄρος, κἀκεῖ τοῦτον λογχεύσαντας τελειῶσαι, καὶ πάλιν αὐτοὺς εἰς τὴν πόλιν ὑποστρέψαι. ἅμα δὲ τοῦτο τοῖς στρατιώταις εἰπεῖν ὑπέστρεψεν καὶ αὐτὸς εἰς τὴν πόλιν. οἱ δὲ ἄνθρωποι ἔτρεχον ὀπίσω τοῦ Θωμᾶ θέλοντες αὐτὸν λυτρώσασθαι 295 W. τοῦ θανάτου. ἀπῄεσαν δὲ δύο ἐκ δεξιῶν τοῦ ἀποστόλου καὶ δύο ἐξ εὐωνύμων δόρυ κρατοῦντες, ὁ δὲ ἔξαρχος κατεῖχεν τῆς χειρὸς αὐτοῦ ὑποβαστάζων αὐτόν. ἔλεγεν δὲ ὁ ἀπόστολος Θωμᾶς·

,ὦ μυστήρια ἀπόκρυφα, ἅτινα ἕως τῆς ἐξόδου ἡμῶν ἐν ἡμῖν τελεῖται· ὦ πλοῦτος τῆς αὐτοῦ δόξης, ὃς οὐ συγχωρήσει ἡμῖν καταποθῆναι ἐν τῷ πάθει τοῦ σώματος. τέσσαρές εἰσιν οἱ καταβάλλοντες· ἐκ τεσσάρων γὰρ γεγένημαι· εἷς δὲ ὁ ἕλκων με· ἑνὸς γάρ εἰμι καὶ πρὸς αὐτὸν ἀπέρχομαι. καὶ τοῦτο νῦν μανθάνω, ὅτι ὁ κύριός μου καὶ θεὸς Ἰησοῦς Χριστὸς ἐξ ἑνὸς ὢν ἐξ ἑνὸς ἐνύγη, ἐγὼ δὲ ἐκ τεσσάρων ὑπάρχων ἐκ τεσσάρων νύσσομαι.' ἀνελθὼν δὲ εἰς τὸ ὄρος ἐν ᾧ τόπῳ ἔμελλεν ἀναιρεῖσθαι εἶπεν τοῖς κατέχουσιν αὐτὸν καὶ τοῖς

---

1 παρέλαβεν τὸν ἰούδαν ἔξω τ. π. R | ἐξῄει] ὁ βασιλεὺσ ἐξίει S | συνηκολούθουν R συναπίησαν S ‖ 2 καὶ] ὀλίγοι R om S | μεθ᾽ ὅπλων R | λοιποὶ om S ‖ 2-3 ἐνόμ. — καὶ] ὄχλοι ἔμειναν R ‖ 2 ὁ βασ. om S ‖ 3 θέλει τί S | προσεῖχον (o ante ν adras P)] καὶ προσῆχον αὐτῶ R ‖ 3-4 περιπ. — ἓν] ὡσ δὲ προῆλθον τρία στάδια R ‖ 4 δὲ αὐτῶν ·ὡσεὶ μ. S | στρατ. τέσαρσιν R | στρατιῶτασ P ‖ 4-5 ἐξ. παρ.] τῶν πολεμάρχων πέμπτω προστάξασ R ‖ 5 αὐτοῖσ RS ‖ 5-7 ἀγ. — εἰπεῖν] εἰσ ὄροσ αὐτὸν λογχιάσαι R ἀπελθόντεσ ἀπαγάγετε α. ε. τ. ὄ. καὶ ἀνέλετε αὐτὸν ξίφει S ‖ 7 δὲ] δὲ τῷ Vsener | ὑπ. — πόλ.] αὐτὸσ δὲ εἰσ τ. π. ὑπέστρεφεν R ὁ δὲ βασιλεὺσ ὑπέστρεψεν εἰσ ἀξούμην τ. π. S ‖ 8 ἄνθρ.] παρόντεσ R 8-11 ὀπ. — θ.] ἐπὶ τὸν ἰούδαν ἁρπάσαι αὐτὸν προθυμούμενοι αὐτὸσ δὲ ἀπήγετο συμπαρομαρτούντων αὐτῶ τῶν στρατηωτῶν ἀνὰ δύο ἐπ᾽ ἀμφότερα μέρη μετακεχωρισμένων τὰσ φλαμίασ τοῦ πολεμάρχου ταῖσ χερσὶν αὐτῶν κατέχοντεσ. καὶ ἅμα βαδίζων ὁ ἰούδασ ἔλεγεν R ‖ 8-9 οἱ δὲ — θαν. om S ‖ 9 ἀπίησαν S | τ. ἀπ. om S ‖ 10 εὐ. τοῦ ἀποστόλου θωμᾶ δόρατα S | scr δορυκρατοῦντες? ‖ 11 ὑπ. α. om S ‖ 12-16 ὦ — νῦν] ὦ τὰ κρύφια σου μυστήρια ἰησοῦ ὅτι μέχρι τῆσ τοῦ βίου τελευτῆσ ἐν ἡμῖν πληροῦται. ὦ τοῦ πλούτου τῆσ χάριτόσ σου ὃσ οὐ συγχωρεῖσ ἡμῖν τοῦ κατασώματοσ πόθου. ἰδοὺ γὰρ πῶσ τέσσαρσι διηλείφασιν μὲν ἐπειδὴ παρ᾽ ἑνὸσ εἰμι πρὸσ ὃν ἄπημοι (i e ἄπειμι). νῦν δὲ R ‖ 12-13 ἡμῶν — ὦ] μου ἐνεργεῖται· ὦ μυστήρια καὶ S ‖ 13 αὐτ. δ.] δ. τοῦ χριστοῦ S | συγχωρήσῃ P συγχωρεῖ S ‖ 14 ἐν] καὶ ἐν S ‖ 14-19 τέσσ. — ἀναιρ.] καὶ S ‖ 17-19 καὶ θεὸς — εἶπεν] ἐπειδήπερ ἦξεν ἣν ὑφ᾽ ἑνὸσ ἐπλήγην ἐγὼ δὲ ἐπεὶ δὴ ἐκ τεσσάρων πλήττομαι. ὡσ δὲ ἀφήκοντο εἰσ τὸν τόπον ἐκεῖνον καθ᾽ ὃν λογχειάζειν αὐτὸν ἤμελλον ἔλεγεν ὁ ἰούδασ R ‖ 19 αὐτ. κατ. R ‖ 19-88, 1 καὶ τοῖς λοιποῖς om R

λοιποῖς· ‚ἀδελφοί, καὶ νῦν μοι ἀκούσατε ἐν τέλει· πρὸς γὰρ τὴν
ἔξοδον τὴν ἀπὸ τοῦ σώματος ἕστηκα. μὴ οὖν πηρωθῶσιν οἱ ὀφθαλ-
239 T. μοὶ τῆς καρδίας ὑμῶν, μηδὲ τὰ ὦτα ὑμῶν κωφωθῶσιν. πιστεύσατε
εἰς τὸν θεὸν ὃν κηρύσσω, καὶ μὴ ἑαυτοὺς ὁδηγήσητε ἐν τῇ σκληροκαρδίᾳ
ὑμῶν, ἀλλὰ πολιτεύσατε ἐν πάσῃ ἐλευθερίᾳ ὑμῶν καὶ τῇ δόξῃ τῇ
πρὸς τοὺς ἀνθρώπους καὶ τῇ ζωῇ τῇ πρὸς τὸν θεόν.‘

εἶπεν δὲ τῷ Ἰουζάνῃ τῷ υἱῷ τοῦ βασιλέως, διακόνῳ δὲ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ‚δὸς τοῖς ὑπηρέταις τοῦ Μισδαίου οὗ
εἰσιν ἄξιοι ἵνα μοι συγχωρήσωσιν ἀπελθεῖν καὶ εὔξασθαι.‘ ὁ δὲ Ἰου-
296 W. ζάνης ἔπεισεν τοὺς στρατιώτας ἵνα ἀφήσωσιν αὐτὸν προσεύξασθαι· ὁ
δὲ μακάριος Θωμᾶς ἀπῄει ἐπὶ τὸ εὔξασθαι, καὶ θεὶς τὰ γόνατα καὶ
279 W. ἀναστὰς καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν εἶπεν ταῦτα· ‚κύριε
καὶ θεέ μου, ἡ ἐλπίς μου καὶ ἡ πεποίθησίς μου καὶ ὁ διδάσκαλός μου,

---

1 ἀδ. — τέλει] ἀκούσατέ μου νῦν R ὄχλοις· ἀκούσατέ μου ἀδελφοὶ S ‖ 1-2 πρὸς — τὴν] ὅτι ἐν ἐξόδῳ τοῦ (sic) R ‖ 1 γὰρ om S ‖ 2 τὴν ἀπὸ om S | ἕστ.] μου ἕστ. R μου ὑπάγω S | μὴ οὖν πηρ.] καὶ μὴ σκοτούσθωσαν R ‖ 2-3 ὑμ. οἱ ὀφθ. (om τ. καρδ.) R ‖ 3 ὑ prioris ὑμῶν in ras P ‖ 3-5 τὰ — καὶ τῇ] φραττέσθωσαν ὑμῶν αἱ ἀκοαὶ ὥστε μὴ ἀκούην ἐξ ὧν εἶναι πιστύσατε (sic) τῶ θεῶ ὃ κηρύττω ἵνα ἀπαλλαγέντες τῆς κατὰ ψυχὴν ἀλαζωνίας πολιτεύσασθε δὲ ἐν πολιτεία ἐλευθέροις πρέπουσιν (leg πρεπούσῃ) καὶ R ‖ 3 κωφώσητε· ἀλλὰ πιστεύετε S ‖ 4-5 ὁδ. — ὑμῶν] ἐκδώσητε εἰς σκληρότητα καρδίας S ‖ 5 πολιτεύσασθε S | πᾶσι P | ἐλ. — δόξῃ] ἀναστροφῇ εὐσεβείας S ‖ 6 πρὸς τ. ἀνθρ.] παρὰ ἀνθρώποις R | τοὺς om S | καὶ — θεόν] ἀρετὴ καὶ τῇ πρὸς θεὸν δόξῃ S | τῇ ζωῇ om R ‖ 7-8 εἶπεν — ἡμῶν] ἔλεγε δὲ πρὸς οὐαζάνην υἱὲ τοῦ κατὰ τὴν γῆν βασιλέως διάκονε δὲ R ‖ 7 εἶπεν δὲ] καὶ εἶπεν S | ἰουζάνῳ S | βασ.] βασ. μισδαίου S ‖ 8 τ. Μ.] τοῦ προστάγματος μισδαίου τοῦ βασιλέως R | τοῦ om S ‖ 8-9 οὗ — εὔξ.] τὸ ὀφειλόμενον ὅπως ἀπελθὼν εὔξομαι R ‖ 9 προσεύξασθαι S ‖ 9-12 ὁ δὲ — ταῦτα] τοῦ δὲ οὐαζάνου τοῖς στρατηώτες πήσαντος ὁ ἰούδας ἐπὶ τὴν εὐχὴν ἐτράπη. ἦν δὲ αὕτη R ‖ 10 τ. στρατ. om S | ἀφ. αὐτ.] ἐνδώσωσι διορίαν τῷ ἀποστόλῳ S | ἀφίσωσιν P ‖ 10-12 ὁ δὲ — ταῦτα] ἀποστὰς δὲ ἀπ᾿ αὐτῶν μικρὸν ἤρξατο λέγειν οὕτως S ‖ 11 ἀπίει P ‖ 12-92, 11 κύριε — εὗρεν] ὁ κύριός μου καὶ ὁ θεός μου· ἡ ἐλπὶς καὶ λύτρωσις καὶ ἡγεμὼν καὶ ὁδηγὸς ἐν πάσαις χώραις σὺ ἦσθα μετὰ πάντων τῶν ὑπηρετουμένων μοι καὶ ὁδήγησόν με σήμερον ἐρχόμενον πρὸς σέ. μὴ λαμβανέτω μηδεὶς τὴν ἐμὴν ψυχὴν ἣν παρέδωκά σοι. μὴ βλεπέτωσάν με οἱ τελῶναι καὶ οἱ ἀπαιτηταί (91, 21) μὴ συκοφαντησάτωσάν με μὴ βλεπέτομαι (leg βλεπέτω με) ὁ ὄφις καὶ οἱ τοῦ δράκοντος παῖδες· μὴ συρέτωσαν (scr συριττέτωσαν) ἐπ᾿ ἐμέ. ἰδοὺ ἐπλήρωσά σου τὸ ἔργον καὶ ἐτελείωσα τὸ πρόσταγμά σου (89, 12) δοῦλος γενόμενος (89, 22). διὰ τοῦτο σήμερον τὴν ἐλευθερίαν λαμβάνω. σὺ οὖν κύριε δὸς ταύτην τὴν ἐν ἐμοὶ τελείωσιν καὶ τῶν τὴν ἡμετέραν μνήμην ἑορταζόντων, τῶν αἰωνίων σου ἀγαθῶν τὴν ἀπόλαυσιν· ταῦτα δὲ λέγων (scr λέγω) οὐκ ἐνδιάζων ὅπως ἀκούσωσιν οὓς ἀκοῦσαι χρή R ‖ 13 καὶ θεέ μου] μου ἰησοῦ χριστὲ S | καὶ ἡ πεπ. μου] ἡ πεπ. S | ὁ om S

ὁ τὸ θάρσος ἐνθείς μοι, σὺ ἔσῃ μετ' ἐμοῦ ἕως τέλους. σὺ εἶ ὁ ἐκ νεότητός μου ὑπομονὴν ἐν πειρασμοῖς διδούς μοι καὶ ζωήν, καὶ ἀπὸ τῆς φθορᾶς με διαφυλάξας· σὺ εἶ ὁ εἰς τὴν πεῖναν τοῦ κόσμου ἀγαγών με, κύριε, καὶ τοῦ πλούτου με τοῦ ἀληθινοῦ πλήσας. σὺ εἶ ὁ μηνύσας με σὸν ὄνομα, διὸ γυναικὶ οὐδ' ὅλως συνήφθη, ἵνα ὁ ναὸς σοῦ ἄξιος ἐν μολυσμῷ μὴ εὑρεθῇ. οὐκ ἐξαρκεῖ μου τὸ στόμα ἐξομολογήσασθαί σοι, οὐδὲ ἐνθυμηθῆναι δύναμαι τὴν σπουδὴν καὶ ἐπιμέλειαν τὴν ἐκ σοῦ γενομένην περὶ ἐμοῦ. ἐβουλόμ . . . σει σου καὶ παρέμεινα τῇ πτωχείᾳ τοῦ κόσμου, ἕως σὺ ὁ πλοῦτος τῆς ἀληθείας ἀπεκαλύφθης, ὁ κἀμὲ καὶ τοὺς ἄλλους τοὺς σοὶ ἀξίους ἀποκαλυφθεὶς ἀπὸ τοῦ ἰδίου πλούτου πληρώσας καὶ ἀπὸ μερίμνης καὶ φροντίδος 280 W. τοὺς σοὺς ἀπαλλάξας. πεπλήρωκα οὖν, κύριε, τὰς ἐντολάς σου καὶ ἐτέλεσα τὸ βούλημά σου, καὶ ἐγενόμην πένης καὶ ἐνδεὴς καὶ ξένος καὶ δοῦλος . . . ἐξουδενωμ . . . ναν ὑπ . . . δ . . . θενωθῇ· μὴ ἀπόλωνταί μου αἱ εὐχαὶ καὶ αἱ νηστεῖαί μου αἱ συνεχεῖς καὶ αἱ πολλαί μου δεήσεις· μὴ ἀνταλλαγῇ μου ὁ σπόρος τοῦ σίτου ἀπὸ τῆς σῆς

---

1 μοι ἐνθείσ S | ἔσῃ — τέλους] ἐδίδαξάσ με οὕτωσ προσεύξασθαι· ἰδοὺ τὴν σὴν εὐχὴν εὔχομαι καὶ τὸ θέλημά σου εἰσ πέρασ ἄγω· σὺ ἕωσ τέλουσ ἔσω μετ' ἐμοῦ S ‖ 2 ὑπομ. — ζ. καὶ] ἐν π. διδ. ὑπομ. καὶ ζωὴν παρεχόμενοσ S ‖ 3 διαφ.] ἐξήγαγεσ φυλάξασ τῇ ἀφθαρσίᾳ S ‖ 3-4 ὁ — κύρ.] κύριέ μου ὁ ἐκ τῆσ πενίασ τοῦ κόσμου ἐξαγαγών με S ‖ 3 scr πενίαν ‖ 4 τ. ἀλ. με ἐμπλήσασ S ‖ 5-6 μην. — εὑρ.] ἐκλεξάμενόσ με σὸν δοῦλον· διὸ καὶ οὐκ ἴασάσ με ἐν γυναικὶ μολυνθῆναι· ἵνα ὡσ ὢν σου ἄξιοσ ἀμόλυντοσ εὑρεθῶ S cf syr ‖ 5 σὸν] **hinc incipit Q f 47** | ὄνομα] ὄντα Q | συνήχθην Q scr συνήφθην? cf 39, 34 ‖ 6 μοι S | ἐξομολογεῖσθαι S ‖ 8 π. ἐμοῦ] μοι S: scr π. ἐμέ? cf 68, 40 | ἐβουλόμ . . . σει] **septem uersus rescissi ab ima pag P** ἐβουλόμην γὰρ κτήσασθαι (κεκτῆσθαι S) πλοῦτον; σὺ δὲ δι' ὁράματοσ ἔδειξάσ μοι (ἐδίδαξάσ με S) ὅτι ἐπιζήμιοσ καὶ ἐπιβλαβὴσ γίνεται τοῖσ κτωμένοισ αὐτόν· καὶ ἐπίστευσα τῇ φανερώσει (τοῖσ κτ. — φαν. om S) QS ‖ 8-10 σου — ἀπεκαλ. om S ‖ 9 ἕως] ἕωσ ὅτε Q ‖ 10 ἄλλους — ἀποκ.] ἀξίουσ σου ἐκλεξάμενοσ πένητασ καὶ S | scr σοῦ? cf 90, 21 | ἀποκαλυφθεὶς om Q: **delend ex** ἀπεκαλύφθης **repet** ‖ 11 ἰδ. πλ. πληρ.] πλούτου τῆσ θεότητόσ σου πλουτήσασ S | μερίμνοσ S ‖ 12 κύρ.] κύριέ μου S ‖ 12-13 καὶ — σου om S ‖ 14 δοῦλος — θενωθῇ] **quattuor uersus partim et post** δ . . . **nouem toti rescissi ex P** δοῦλοσ καὶ ἐξουδενωμένοσ καὶ δέσμιοσ καὶ πεινάλεοσ (πεινάλεωσ S) καὶ διψάλεοσ (διψάλεωσ S) καὶ γυμνὸσ καὶ ἀνυπόδετοσ (ἀνυπόδητοσ S) καὶ ἐμόχθησα διὰ σὲ (καὶ ἐν μόχθοισ πολλοῖσ ὑπήνεγκα S) ἵνα μὴ ἀπώλειται ἡ πεποίθησίσ μου (μου ἡ πεπ. μὴ ἀπόλυται S) καὶ ἡ ἐλπίσ μου ἡ ἐν σοὶ μὴ καταισχυνθῇ (καταισχυνθείη S)· καὶ ὁ πολύσ μου κάματοσ μὴ γένηται διακενῆσ· καὶ ὁ κόποσ μου μὴ (γέν. — μὴ om S) ἐξουδενωθῇ (ἐξουδενωθείη S) QS | ἐξουδενομ **cum partic litt** ε P | ἀπόλυνταί S ‖ 15-16 αἱ πολλαὶ — ἀντ. μου] ἡ πολλή μου σπουδὴ ἡ εἰσ σέ· πληθυνθήτω S: cf syr ‖ 16-90, 1 ἀπὸ — γῆς] μου ἐν τῇ σῇ γῇ S ‖ 16 σῆς om Q

γῆς· μὴ ἁρπάσῃ αὐτὸν ὁ ἐχθρὸς καὶ τὰ αὐτοῦ ζιζάνια· ἀλλ' οὐδὲ τεθῆναι δύναται εἰς τοὺς σοὺς οἴκους. τὴν ἄμπελόν σου ἐφύτευσα ἐν γῇ· τὰς ῥίζας καθῆκεν εἰς τὸ βάθος, ἡ δὲ βλάστησις τοῦ ὕψους αὐτῆς ἐξηπλώθη, οἱ δὲ ταύ.ης καρποὶ ἐπὶ γῆς . . . αν, καὶ ἐκ τού . . . ονται οἱ . . . τή . . . εἶχον ὥσπερ συνέθου. τῷ ὀφειλέτῃ μου ἀφῆκα τὴν μίαν· μὴ εἰς χεῖράς μου ἐπιζητήσῃς. εἰς δεῖπνον
281 W. ἐκλήθην καὶ ἦλθον, ἀπὸ δὲ τοῦ χωρίου καὶ τοῦ ζευκτοῦ καὶ τῆς γυναικὸς ἐγὼ ἔξαρνος γέγονα, ἵνα μὴ διὰ ταῦτα ἀποδοκιμασθῶ· εἰς τὸν γάμον ἐκλήθην καὶ λευκὴν ἐσθῆτα ἐνεδυσάμην, ἵνα ἄξιός σου γένωμαι, καὶ μὴ δεθεὶς χεῖρας καὶ πόδας εἰς τὸ ἐξώτερον σκότος ἐκβληθῶ· ὁ λύχνος μου τῷ φωτὶ αὐτοῦ τῷ διαυγεῖ προσδέχεται τὸν δεσπότην ἀ . . . οντα ἐκ τῶν γάμων . . . τελέσαντός μου τὸ θέλημά σου καὶ τὰς ἐντολάς σου τελειώσαντος, ἵνα ἐξομοιωθῶ δούλῳ γοργῷ καὶ εὐλαβεῖ, ὃς διὰ τῆς ἑαυτοῦ προθυμίας οὐκ ἀμελεῖ τῆς ἀγρυπνίας. πᾶσαν τὴν νύκτα ἔκαμον τοῦ φυλάξαι τὸν οἶκόν μου ἀπὸ τῶν ληστῶν,

---

1 ἀφαρπάσῃ S | τὰ — ἀλλ'] αἰτοῦ τὰ ζ. ἀλλ' Q ταῖσ ἰδίαισ ζηζανίαισ συμμίξῃ· ἡ γὰρ σῇ γῇ, ἀληθῶσ οὐ δέχεται ἀυτοῦ τὰ ζηζάνια. ἀλλ' S: **hinc lacunam supple** ‖ 2 δύνανται S | ἐφύτ.] ἣν ἐφύτευσασ S ‖ 3 ἐν τῇ σῇ γῇ S | ῥίζ.] ῥίζ. αὐτῆσ Q | τὸ om Q ‖ 3-4 τ. ὕψ. αὐτ.] αὐτῆσ ἐν τῷ ὕψει S ‖ 4 οἱ δὲ om S ‖ 4-5 ταύ . ης — εἶχον] **membr rescissa ex P** ταύτησ καρποὶ ἐπιγῆσ ἐξετάθησαν (ταύτ. — ἐξετ. om S) καὶ ἐκ τούτων εὐφραίνονται οἱ σοὶ (σου οἱ S) ἄξιοι οὓσ (οἷσ S) καὶ ἐκτήσω (ἐπίστευσασ S). τὸ ἀργύριον ὃ δέδωκάσ μοι (δέδ. μοι om S) κατέβαλον (κατέλαβον S) ἐν τῇ τραπέζῃ. τοῦτο ἀποτίσασ ἀποδίδου μοι (ταῦτα ἀπαιτήσασ δέδωκα S) ἐν τόκοισ ὥσπερ ἐπηγγείλω (μοι add S). τὴν μίαν σου (μνᾶν add S) πραγματευσάμενοσ. δέκα πεποίηκα (ἐδιπλασίασα καὶ S)· προσέθηκάσ μοι ἐφ' οἷσ εἶχον QS ‖ 5 καθὼσ S ‖ 6 μου ἀ. τ. μίαν] καὶ τὴν μνᾶν μετέδωκα S | εἰσ χ.] ἐκ χ. S | ἐπιζητήσεισ Q ἐπιζ. αὐτὴν κύριέ μου ἰησοῦ χριστέ S | δεῖπν.] τὸν δεῖπνον σου S ‖ 7 δὲ τοῦ om S | ζευητοῦ Q ‖ 8 ἐγὼ — ἀποδοκ. om S | οὐ γέγ. ἔξ. **exspectes** | ἀποδ.] ἐγὼ ἀποδ. Q ‖ 9 ἐκλήθην om S | ἐνεδ.] ἐνδυσάμενοσ προθύμωσ παρεγενόμην S | σου] αὐτοῦ Q σοι S ‖ 10 ἐξ. σκ.] σκ. τὸ ἐξ. S ‖ 11 μου — προσδ.] ὁ τὸ φῶσ μοι καταλάμπων, ἐγρηγόρησα ἔχων τὴν λαμπάδα μου καὶ προσδεχόμενοσ σὲ S ‖ 12 δεσπ. — γάμων] **membranae particula rescissa ex P** δεσπ. τὸν ἀναλύοντα (δεσπ. μου πότε ἀναλύσεισ S) ἐκ τῶν γάμων QS | **post** τὸν γάμον **(sic) septem uersus rescissi ex P** ἵνα δέξηται αὐτὸν καὶ μὴ ἴδω αὐτὸν ἀμαυρωθέντα· τοῦ ἐλαίου δαπανηθέντοσ. οἱ ὀφθαλμοί μου χριστὲ σε καθ' ὁρῶσιν· καὶ ἡ καρδία μου ἐν χαρᾷ ἀγαλλιᾶται Q δέξῃ τὴν λαμπάδα μου ἐξημμένην φαιδρῶσ· καὶ μὴ ἴδω αὐτὴν ἀμαυρωθεῖσαν τοῦ ἐλαίου καὶ πλανηθῶ. οὐκ ενύσταξα ῥαθυμήσασ τηρῶν τὰσ ἐντολάσ σου· τῷ προθύπνῳ καὶ τῷ μεσονυκτίῳ καὶ τῇ ἀλεκτροφωνίᾳ· ὅπωσ οἱ ὀφθαλμοί μου ἐν καθαρῷ ὦσιν. καὶ ἡ καρδία μου χαρὰ ἀγαλλιάσεται S ‖ 13 σου τελ.] μου τελ. μου S ‖ 13-14 γοργῷ — ἀγρυπν.] πιστῷ καὶ φρονίμῳ S ‖ 15-91, 1 ἔκαμνον φυλάσσων ἀπὸ τ. λ. ἵνα μὴ διωρυγῇ ἡ οἰκία μου S

ἵνα μὴ διορυγῇ. τὴν ὀσφύν μου ἐν ἀληθείᾳ περιέσφιγξα καὶ τοῖς ποσί μου τὰ ὑποδήματα ἔδησα, ἵνα μὴ δι' ὅλου χαυνωθέντα ἴδω αὐτά. τὰς χεῖράς μου ἐπέθηκα ἀρότρῳ τῷ ζευκτῷ καὶ εἰς τὰ ὀπίσω οὐκ ἀπεστράφην, ἵνα οἱ αὔλακες μὴ σκαμβασθῶσιν. ἐλεύκανεν ἡ ἄρουρα καὶ ἐπέστη ὁ θερισμός, ἵνα τὸν μισθόν μου ἀπολάβω· τὸ ἔνδυμά μου τὸ παλαιωθὲν ἀνενέωσα, καὶ τὸν κάματον τῶν καμάτων τὸν ἀγαγόντα με εἰς τὴν ἀνάπαυσιν ἐτέλεσα. ἐτήρησα τὴν πρώτην φυλακὴν καὶ τὴν δευτέραν καὶ τὴν τρίτην, ἵνα τὸ πρόσωπόν σου θεάσωμαι καὶ προσκυνήσω τὸ ἅγιόν σου ἀπαύγασμα. ἐξερίζωσα τοὺς χειρίστους καὶ ἐρήμους καὶ κατέλιπον αὐτοὺς ἐπὶ τῆς γῆς, ἵνα ἀπὸ τῶν σῶν θησαυρῶν ἐμπλησθῶ. τὴν ἐν ἐμοὶ πηγὴν τῆς ζωῆς ἐπαναπαύων 282 W. σε. τὸν δέσμιον ὅν μοι παρέδωκας ἐφόνευσα, ὁ δὲ ἐν ἐμοὶ λελυμένος μὴ ἐκπέσῃ τῆς πεποιθήσεως αὐτοῦ. τὸν ἐντὸς ἐκτὸς πεποίηκα, καὶ τὸ ἐκτός, καὶ πᾶν σου τὸ πλήρωμα ἐν ἐμοὶ ἐπληρώθη. εἰς τὰ ὀπίσω οὐχ ὑπέστρεψα, εἰς δὲ τὰ ἔμπροσθεν προέβην ἵνα μὴ ὄνειδος γένωμαι. τὸν νεκρὸν ἐζωοποίησα καὶ τὸ ὑστερούμενον ἐπλήρωσα, ἵνα δέξωμαι τῆς νίκης τὸν στέφανον καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ ἐν ἐμοὶ τελεσθῇ. ὀνειδισμὸν ἐδεξάμην ἐπὶ τῆς γῆς, τὴν δὲ ἀμοιβὴν καὶ τὴν ἀντιμισθίαν δίδου μοι ἐν οὐρανοῖς. μὴ αἴσθωνταί μου αἱ δυνάμεις καὶ οἱ ἐξουσιασταί, καὶ μηδὲν περὶ ἐμοῦ ἐνθυμηθῶσιν· μὴ ἰδόντες με οἱ τελῶναι καὶ ἀπατηταὶ καὶ ἐν ἐμοὶ πραγματεύσονται. μὴ καταβοήσωσιν οἱ

---

1 περιέσφιξα ἐν ἀλ. S | ποσίν Q ‖ 2 ἔδησα om S ὑπέδησα Vsener | δι' ὅλου om S ‖ 3 ἀρ.] τῷ ἀρ. Q ἐν τῷ ἀρ. S ‖ 3-4 τῷ ζ. — σκ.] βλέπων εἰσ τὰ ἔμπροσθεν τοῦ ζευκτοῦ, ἵνα τοὺσ αὔλακασ ὀρθῶσ ἑλκύσω S ‖ 5 ἀπολ.] πλήρησ λάβω S ‖ 6 παλαιούμενον S ‖ 6-8 ἀνεν. — τρίτην] ἐπαλαίωσα. ἵνα τὸν καινούμενον ἄνθρωπον παραστήσω ἄμεμπτον· τὴν πρώτην παραφυλακὴν κ. τ. δευτ. κ. τ. τρίτην ἀκριβῶσ ἐφύλαξα S ‖ 6 del τῶν καμ. ‖ 9 ἐξερρίζωσα Q ‖ 9-10 χειρ. — αὐτ.] θησαυροὺσ S ‖ 9 χειρίστους (η sup ει P)] *horrea* syr ‖ 10 καὶ post ἐρ. et αὐτοὺς om Q | ἀπὸ om S ‖ 11 σῶν] οὐρανίων σου S ‖ 11-12 τὴν — σε] τὰ ὑπάρχοντά μοι πάντα ἐπώλησα· ἵνα σε τὸν μαργαρίτην κερδήσω· τὴν ἐν ἐμοὶ πηγὴν κάθυγρον ἐξήρανα· ἵνα τὴν ἀνέκλειπτόν σου πηγὴν ζήσασ ἀναπαῶ S unde lacuna supplenda ‖ 12 παρέδ. μοι S | ὁ δὲ] ἵνα ὁ S ‖ 13-14 αὐτοῦ — ἐπληρ.] ταῦτα διὰ τοῦ ἐντὸσ ἀνθρώπου καὶ διὰ τοῦ ἐκτὸσ, τὸ θέλημά σου ἐποίησα S ‖ 13 τὸ] scr τὸν? ‖ 14 ἐκτὸς] add ἐντὸς? ‖ 14-15 οὐκ ἀπέστρεψα S ‖ 16 cf syr | ἐζωοπ. — ἐπλήρ.] ἐξέωσα· καὶ τὸν ζῶντα ἐνίκησα S | δέξομαι Q ‖ 17 τ. στ. τ. ν. S | ἡ — τελ.] αἱ ἐντολαί σου ἐν ἐμοὶ πληρωθῶσιν S ‖ 18 ἐδεξ.] μετὰ χαρᾶσ ἐδεξ. S ‖ 18-20 δὲ ἀμ. — τελῶναι] ἀντιμισθίαν ἀπεκδεχόμενοσ ἐν τοῖσ οὐρανοῖσ· ἵνα μηδὲν ἐνθυμηθῶσιν περὶ ἐμοῦ οἱ ἐξουσιασταὶ καὶ τελῶναι. ἢ κατ' ἐμοῦ ἐρῶσιν τί S ‖ 19 αἴσθονται PQ ‖ 20 μηδὲν] μὴ δὲ Q ‖ 21 καὶ οἱ ἀπατ. Q καὶ οἱ ἀπαιτηταὶ S | καὶ ἐν] ἐν Q μηδὲν S | leg πραγματεύσωνται? cf 92. 8 al | μὴ] μή μου S syr ‖ 21-92, 2 supple et corrige ex syr

ἥττονες, καὶ πονηροὶ καὶ ἀνδρείου καὶ ἐπιεικοῦς καὶ ἀναβιβαζομένου
μὴ ἀνανεύσωσιν ἔμπροσθέν μου βῆναι διὰ τὴν σὴν δύναμιν, Ἰησοῦ,
τὴν περιστεφανοῦσάν με. φεύγουσιν γὰρ καὶ κρύπτονται οἱ ὑπὸ τὴν
ὑπακοήν σου μὴ γενόμενοι, ἀντιβλέψαι σε οὐ δύνανται· ἡ δὲ μερὶς
τῶν υἱῶν τοῦ πονηροῦ αὐτὴ βοᾷ καὶ ἐλέγχει αὐτούς. ἀλλ' οὔτε
κρύπτεται ἐξ αὐτῶν· τὴν γὰρ αὐτῶν φύσιν ἀποχωρίζουσιν οἱ τοῦ
283 W. πονηροῦ παῖδες. παράσχου οὖν μοι, κύριε, ἵνα ἐν ἡσυχίᾳ παρέλθω
καὶ χαρᾷ καὶ εἰρήνῃ ὑπερβήσομαι καὶ στῶ ἔμπροσθεν τοῦ δικαστοῦ.
καὶ ὁ διάβολός με μὴ ἐπίδῃ· τούτου οἱ ὀφθαλμοὶ πηρωθῶσιν διὰ
τοῦ σοῦ φωτὸς οὗ ἐν ἐμοὶ κατεσκήνωσας· φιμώσει αὐτοῦ τὸ στόμα,
οὐδὲν γὰρ κατ' ἐμοῦ εὗρεν.'

296 W. καὶ ταῦ.. εὐξαμένου εἶπεν τοῖς στρατιώταις· ,δεῦτε, τελέσατε
τὰς ἐντολὰς τοῦ πέμψαντος ὑμῖν'. καὶ ἐλθόντες οἱ τέσσαρες ἔνυξαν
αὐτὸν τοῖς δόρασιν· καὶ πεσὼν ἐτελεύτα. οἱ δὲ ἀδελφοὶ πάντες
240 T. ἔκλαιον. ἤνεγκαν οὖν ἐνδύματα κάλλιστα καὶ ὀθόνην πάνυ πολλὴν
καὶ καλήν, καὶ ἔθαψαν αὐτὸν ἐν μνημείῳ βασιλικῷ ἐν ᾧ οἱ βασιλεῖς
οἱ πρῶτοι ἐτέθησαν. Σίφωρ δὲ καὶ Ἰουζάνης οὐκ ἐβούλοντο κατιέναι
εἰς τὴν πόλιν, ἀλλ' ἐπαρεκαθέζοντο ὅλην τὴν ἡμέραν. ἐφάνη δὲ
αὐτοῖς ὁ ἀπόστολος Θωμᾶς καὶ εἶπεν. ,τί καθέζεσθε τηροῦντές με;

---

1 ἡττόντες P ἥττονες Q (cuius est ea ultima uox) ἡγεμῶνες τοῦ δράκοντος S ‖ 1-2 καὶ πον. — ἀναν.] πρὸς σὲ ἀναφερομένου μου· μὴ ελεύσονται S ‖ 1 ἀνδρίου P | μ uoc ἀναβιβ. in ras P ‖ 2 στῆναι S | Ἰησ. om S ‖ 3 σκέπουσάν S ‖ 3-7 φεύγ. — κύριε] φύγωσι κρυπτόμενοι ἀπ' αὐτῆς μὴ δυνάμενοι ἀντιβλέψαι· αἰφνηδίως γὰρ ἐμπίπτωσι τοῖς ὑπηκόοις αὐτῶν· ἡ γὰρ μερὶς αὐτῶν τ. πον. ἐστὶν καὶ ἐλέγχει αὐτούς· ἡ γὰρ φύσις αὐτῶν γνωρίζεται· σκέπασόν με ἰησοῦ S cf syr ‖ 5 ἐλέγχῃ P ‖ 6-7 τοῦ πο(νηροῦ) in ras P ‖ 8 ὑπ. κ. στῶ] ἵνα στῶ ἐν παρρησίᾳ S | τ. δικ.] σου S τῆς δόξης σου syr ‖ 9 δ. εἰς ἐμὲ μὴ ἀφίδῃ· ἀλλ' οἱ ὀ. αὐτοῦ πηρ. S | ἐπείδῃ P ‖ 10 φωτ. — κατ.] ἐν ἐμοὶ φωτὸς λάμποντος S | φημώσει P φημῶν S φιμώσειας syr? | αὐτ. τὸ στ.] εἰς τὸ στ. τοῦ διαβόλου S ‖ 12 καὶ om RS | ταῦ in ima pag P ταῦτα S om R | εὐξ.] εὐξάμενος δὲ R προσευξαμένου τοῦ ἀποστόλου S | τ. στρ. εἶπεν R ‖ 12-13 δεῦτε — ἐντ.] ἐλθότες (sic) πληρώσατε τὸ προστεταγμένον ὑμῖν ὑπὸ R ‖ 13 ὑμᾶς RS | ἐλθ. om R | τέσσαρεις R τέσσαροις S ‖ 13-14 ἔν. — ἐτελ.] αὐτὸν εὐθὺς πήξαντες ἀνήλων R ‖ 14 ἐτελ.] παραχρῆμα ὁ ἀπόστολος παρέδωκεν τὸ πνεῦμα S | οἱ δὲ ἀδ. om R ‖ 15 ἔκλ.] δὲ ἐδάκρυον R ‖ 15-17 ἤν. — ἐτέθ.] καὶ συστήλαντες αὐτὸν πέπλοις πολυτίμοις κατέθηκαν εἰς μνημεῖον ἐν ᾧ οἱ βασιλεῖς ἐθάπτοντο R ‖ 15 ἤν. οὖν] καὶ ἤν. S | κάλλ. om S ‖ 15-16 πάνυ — καλὴν om S ‖ 16 ἔθ.] ἐνταφιάσαντες S | ἐν] ἔθηκαν ἐν S ‖ 17 Σίφ.] τερτία R σιφώρας S | οὐαζάνης R | ἤθελον R | κατελθεῖν RS ‖ 18 ἐν τῇ πόλει S | ἀλλὰ R | ἐπαρ. — ἡμ.] ὅλ. τ. ἡμ. διατρίψαντες ἐκεῖ διανυκτήρευον R ἐκεῖ ἐκαθέζοντο S ‖ 18-19 ἐφ. — ἀπ.] οἷς ἐπιφανεὶς ὁ R ‖ 19-93, 1 καὶ — ἀν. καὶ] εἶπεν. οὐκ εἰμὶ ἐνταῦθα· τί καθεζόμενοι τηρεῖτε με. ἀναβὰς γὰρ R ‖ 19 τηρ.] πενθοῦντες S

οὐκ εἰμὶ ἐνθάδε, ἀλλ' ἀνῆλθον καὶ ἀπέλαβον πάντα ἃ εὐηγγελίσθην. ἀλλ' ἀναστάντες κατέλθετε ἐντεῦθεν· μετ' ὀλίγον γὰρ χρόνον καὶ ὑμεῖς παρ' ἐμοὶ συνάγεσθε.' Μισδαῖος δὲ καὶ Χαρίσιος ἀπήνεγκαν 297 W.
Μυγδονίαν καὶ Τερτίαν, καὶ πάνυ αὐτὰς ἔθλιψαν· αἳ δὲ οὐ συνεδόκησαν τῇ θελήσει αὐτῶν. ὁ δὲ ἀπόστολος ἀποκαλυφθεὶς αὐταῖς εἶπεν· ‚μὴ πλανηθῆτε· Ἰησοῦς ὁ ἅγιος, ὁ ζῶν, ἐν τάχει ὑμῖν τὴν βοήθειαν ἐξαποστελεῖ.' ὁ δὲ Μισδαῖος καὶ ὁ Χαρίσιος γνόντες ὅτι οὐ πείθονται αὐτοῖς ἥ τε Μυγδονία καὶ ἡ Τερτία συνεχώρησαν αὐτὰς τῷ ἰδίῳ θελήματι ζῆν. συνήγοντο δὲ οἱ ἀδελφοὶ καὶ ἠγαλλιῶντο ἐν τῇ χάριτι τοῦ ἁγίου πνεύματος.

ὁ δὲ ἀπόστολος Θωμᾶς ἀπαλλαττόμενος τοῦ κόσμου τὸν μὲν Σιφώρα ἐποίησεν πρεσβύτερον, Ἰουζάνην δὲ διάκονον. ἀπῆλθον δὲ ἐπὶ τὸ ὄρος ἐπὶ τὸ ἀποθανεῖν ἐπάνω τοῦ τάφου αὐτοῦ. ὁ δὲ κύριος συνήργει αὐτοῖς καὶ τῆς πίστεως αὐτῶν πρόθεσιν ἐποιεῖτο.

συνέβη δὲ μετὰ πολὺν χρόνον ἓν τῶν τέκνων Μισδαίου τοῦ βασιλέως κρουσθῆναι ὑπὸ δαίμονος, καὶ οὐδεὶς αὐτὸν ἠδυνήθη θεραπεῦσαι·

---

1 οὐκ — ἀλλ' om S | π. ἃ εὐ.] τὸ ἐλπιζόμενον R τὰς ἐπαγγελίας· συγχάρητε οὖν μοι μᾶλλον καὶ μὴ πενθῆτε S ‖ 2 ἀλλὰ R καὶ S | κατ. ἐντ.] ἄπητε R εἰσέλθατε ἐν τῇ πόλει S ‖ 2-3 μετ' — συνάγ.] καὶ μετ' οὐ πολὺν ἀναχθήσεσθαι πρὸς μέ R ὅτι μετ' ὀλίγον χρόνον καὶ ὑμεῖς σὺν ἐμοὶ ἀγαλλιάσεσθε S ‖ 3-5 ἀπήν. — αὐτῶν] πολλὰ ἀναγκάσαντες τὴν τερτίαν καὶ μαγδονίαν (sic) οὐκ ἔπισαν ἐκστῆναι τῆς γνώμης R ἐκολάκευσαν τὴν μυγδονίαν καὶ τερεντιανὴν· καὶ πλεῖστα αὐτὰς κολακεύσαντας καὶ δειναῖς τιμωρίαις προσενέγκαντες οὐκ ἴσχυσαν αὐτὰς πεῖσαι· αἱ δὲ γενναίως ὑπήνεγκαν τὰς βασάνους διὰ χριστὸν μὴ συνθέμεναι τῷ θελήματι αὐτῶν S ‖ 5-6 ὁ δὲ — πλαν.] καὶ ἐπιφανεὶς ὁ ἰούδας εἶπεν αὐταῖς μὴ ἐπιλάθεσθαι τῶν προτέρων ὧν παρ' ἐμοῦ ἠκούσατε R ὁ δὲ μακάριος θωμᾶς, ἀποκαλυφθεὶς εἶπεν αὐταῖς· μὴ φοβηθῆτε τὰς κολακίας καὶ τὰς κολάσεις αὐτῶν καὶ ἀπατηθῆτε S ‖ 6 Ἰησ.] ἰησ. γὰρ R | ἅγ. ὁ ζ.] ἁγιάσας ὑμᾶς S | ὁ ζ.] καὶ ζ. R | ἐν τάχυ S om R ‖ 6-7 ὑμ. — ἐξαπ.] αὐτὸς βοηθήσει ὑμῖν R τ. βο. ὑμ. παρέξει S ‖ 7-9 ὁ δὲ — ζῆν] οἱ δὲ περὶ τὸν μισδαῖον καὶ χαρίσιον μὴ πίσαντες αὐτὰς ἔασαν τὴν αὐτῶν χρήσασθαι γνώμην R ‖ 7 ὁ post καὶ om S | ὅτι] ὅτι ἕως θανάτου S ‖ 8 τερεντιανὴ S | αὐταῖς S ‖ 9 συν. δὲ] ὁμοῦ δὲ συν. R συνήγαγον οὖν S | οἱ] οἱ ἐκεῖ R ‖ 9-10 καὶ — πν.] ἑαυτοὺς βεβαιούμενοι τῇ πίστει τοῦ χριστοῦ· καὶ προστιθέμενοι τῷ θεῷ ἐπληθύνοντο διὰ τῆς χάριτος τ. ά. πν. S om R ‖ 11-14 ὁ δὲ — ἐποι.] πεποίηκε γὰρ ἰούδας πρεσβύτερον τὸν σηφόρον, διάκονον δὲ τὸν οὐαζάνην ὅτε ἀπήγετο τεθνήξασθαι. ὁ δέ κύριος αὐτοῖς ἐβοήθη καὶ τὴν πίστην αὐτῶν ἐπλεόναζεν R ‖ 11-12 ἀπαλλ. — ἐποί.] ἀπερχόμενος πρὸς τὸν κύριον σιφόραν μὲν ἐποίησε S ‖ 12-13 ἀπῆλθον — αὐτ.] ὅτε ἀνήρχετο πρὸς τὸ ὄρος τοῦ τελειωθῆναι S syr ‖ 14 συν. — ἐποι.] ἡμῶν ἦν μετ' αὐτῶν· καὶ πολλοὶ τῇ πίστει προσετίθοντο S | scr πρόσθεσιν? ‖ 15-16 συνέβη — καὶ] διελθόντος δὲ πολλοῦ χρόνου συμβαίνει δαιμονισθῆναι ἕνα τῶν τοῦ μισδαίου υἱῶν· σκληροῦ δὲ ὄντος τοῦ δαίμονος R ‖ 15 χρ. πολ. S | ἕνα τῶν υἱῶν S ‖ 16 κρ.] πληγῆναι S | ἠδύνατο αὐτὸν RS

πάνυ γὰρ χαλεπὸς ἦν ὁ δαίμων. ἐνεθυμήθη δὲ ὁ βασιλεὺς Μισδαῖος
241 T. καὶ εἶπεν· ‚ἀπελθὼν ἀνοίξω τὸν τάφον καὶ ἄρας ὀστοῦν ἀπὸ τοῦ ἀποστόλου τοῦ θεοῦ κρεμάσω ἐπὶ τὸν υἱόν μου καὶ θεραπευθήσεται.‘ ἐν ὅσῳ δὲ τοῦτο ὁ Μισδαῖος ἐνεθυμήθη, φανεὶς αὐτῷ ὁ ἀπόστολος Θωμᾶς εἶπεν αὐτῷ· ‚ζῶντά με οὐκ ἐπίστευσας, καὶ νεκρὸν ἄρτι πιστεύεις; πλὴν οὖν θάρσει· σπλαγχνίζεται γὰρ εἰς σὲ καὶ ἐλεεῖ σε ὁ κύριός μου Ἰησοῦς Χριστὸς διὰ τὴν ἑαυτοῦ χρηστότητα.‘ ἀπῆλθεν δὲ ὁ Μισδαῖος ἐν τῇ τοῦ ἁγίου ἀποστόλου σορῷ· καὶ ἀνοίξας τὴν θήκην οὐχ εὗρεν ἐκεῖ τὸν ἀπόστολον· εἷς γὰρ τῶν ἀδελφῶν κλέψας
298 W. αὐτὸν εἰς Μεσοποταμίαν ἀπήγαγεν.

ἀπὸ δὲ τοῦ τόπου ἐκείνου ἔνθα τοῦ ἀποστόλου τὸ λείψανον ἔκειτο χοῦν ὁ Μισδαῖος λαβὼν τῷ υἱῷ αὐτοῦ περιέθηκε λέγων· ‚πιστεύω εἰς σέ, Ἰησοῦ Χριστέ, διὰ τοῦ σοῦ ἀποστόλου Θωμᾶ, καὶ ἀδιστάκτῳ πίστει ὁμολογῶ πατέρα υἱὸν καὶ ἅγιον πνεῦμα.‘ καὶ τοῦτο εἰπὼν περιέθηκεν τὸν χοῦν ἐν τῷ τραχήλῳ τοῦ παιδὸς αὐτοῦ· καὶ παραχρῆμα ὁ παῖς ὑγιὴς ἐγένετο. συνηθροίσθη οὖν καὶ Μισδαῖος ὁ βασιλεὺς μετὰ τῶν λοιπῶν ἀδελφῶν καὶ ὑπέκλινε τὴν κεφαλὴν αὐτοῦ

---

